
'Εκκλησιαστικὸς Φάρος 3 (1909) 5-48



ΤΟΥ ΣΟΦΩΤΑΤΟΥ ΚΑΙ ΛΟΓΙΩΤΑΤΟΥ ΚΑΙ ΟΙΚΟΥΜΕΝΙΚΟΥ
ΠΑΤΡΙΑΡΧΟΥ
ΚΥΡΟΥ ΓΡΗΓΟΡΙΟΥ ΤΟΥ ΚΥΠΡΙΟΥ

ΕΠΙΣΤΟΛΑΙ*

ξστ') Τῷ Μελιτινιώτῃ

Καιρὸς ἦν ὅτε ὁ πολυθρύλλητος βασιλικὸς σῖτος οὐκ ἐν νομίσμασιν, ὡς ἐπεκράτει τὸ ἔθος, ἀλλὰ σῖτος σαπρὸς ἐπεδόθη ἡμῖν· καὶ τότ' ἐγὼ μισθὸν τοῖς μετακομίσασι τρία ἐξαναλώσας ἀργύρια, καὶ εἰς τὴν σήμερον ἀποκλαίομαι αὐτά· καὶ σὺ δὲ μαρτυρήσεις τῷ λόγῳ πολλάκις ὑπὲρ ἐκείνων ἀκηκοὼς δεινοπαθοῦντος ἐμοῦ, ὅτι μάτην καὶ κακῶς ἐξηνάλωται· ἀλλὰ τοῦ λοιποῦ ὑπὲρ ἑτέρων οὐκ ἐκείνων κλαυσοῦμαι· τίνων τούτων; τῶν ἐκ χρυσοῦ νομισμάτων· εἴθε δὲ ἦν καὶ ταῦτα ἀργύρια, ἃ τοῖς παισὶν ἡμῶν δέδωκα διὰ τὸν προσφάτως χορηγηθέντα σοι σῖτον· ἥκασι γὰρ ἐκεῖνοι, ἵνα σοι ὅπερ ἔδει πρῶτον τελευταῖον ἐξείπω, καὶ ὅπερ ἥκασι φέροντες πάντα μᾶλλόν ἐστι σπέρματα ἢ σῖτος· εἰ δέ τις ἐν αὐτῷ καὶ σῖτον εἶναι φιλονεικοίη, φημὶ μὲν εἶναι κἀγώ, πλὴν πάνυ πολὺν χρόνον ἐπικεκυφώς τις ἕνα που ἢ καὶ δύο κόκκους εὑρήσει· ὃν δὲ καὶ εὑρήσει, γεγηρακώς ἐστι, σαπρός, ἐρρυπωμένος, μυρία κοιλώματα προδεικνὺς ἐκ τοῦ τὴν ἔνδον οὐσίαν ἀποβαλεῖν· δέρμα γὰρ μόνον ὑπάρχον

* Συνέχεια ἐκ Τόμ. Β'. σελ. 211.

σίτου καὶ οὐ σῖτος, τοῖς κενώμασι συνιζάνει καὶ διὰ τοῦτο τοῖς ἰσχνοῖς μὲν πάλαι δὲ τεταριχευμένοις σώμασιν εἴκασται· ὅθεν καὶ ἀφόρητον εἶχον ἂν τὴν ὀδύνην, εἰ μή σε ὥσπερ συμμεριστὴν ἐμοὶ τοῦ σίτου οὕτω δὴ καὶ κοινωνὸν τοῦ πάθους ἐγίνωσκον.

ξζ΄) Τῷ Νεοκαισαρείτῃ

Ἴσως ζητεῖς τινα καιρὸν ἐλθεῖν πρὸς ἡμᾶς· ὁ δέ, εἰ μὲν καθ' ὃν ἡμεῖς ἐπιδημοῦντες καὶ ὄχλου καθαρεύομεν ἔστι σοι, τὸν νῦν ὄντα τοιοῦτον βέβαιον[1] ὄντα ἠπίστασο· μόνοι γάρ σοι τὸ ὅλον οἰκοῦμεν μοναστήριον καὶ παραβάλλει ἢ τὴν σχολὴν ἡμῖν ἐπικόπτει[2] οὐδείς, ὡς εἶναι διὰ τοῦτο τῆς μεθ' ἡμῶν ὁμιλίας καταπολαύειν εἴ τις βούλεται, ὅπως ποτὲ βούλεται καὶ ἐφ' ὅσον· εἰ δὲ μὴ τὴν καθ' ἡμᾶς ἐπιτηρεῖς εὐκαιρίαν, τὴν δὲ σαυτοῦ ἄδειαν, ἢ τὸ ἀδεὲς μᾶλλον εἰπεῖν, ἀωρία τε πᾶσα καὶ νῦν ἐστι καὶ μετὰ ταῦτα ἔσται. Καὶ σύ γε ἄδηλον εἰ ἐπισταίης ποτέ· τῷ τοῦτο δῆλον; ὅτι δέδιας περὶ τὸ πρᾶγμα κομιδῇ καὶ τρέμεις· προΐσχομεν δὲ τοῦ δεδιέναι τὰς αἰτίας ἡμεῖς ἐγκαρτεροῦντες τῇ γνώμῃ· ἐπεὶ δὲ καὶ μέχρι παντὸς ἐγκαρτερήσομεν, οὔτε[3] τὸ δέος λυθήσεται, μένοντος ἀεὶ τοῦ αἰτίου, σύ τε ζητῶν ἀδεῶς ἥξειν ἀφίξῃ οὐδέποτε.

ξη΄) Τῷ αὐτῷ

Πρὸ πολλῶν ἡμερῶν, οὐ πάνυ δὲ πρὸ πολλῶν[4] ἐξυφάναι σε λόγον φασί, παιδιὰν μὲν ἔχοντα τὴν ὑπόθεσιν, σπουδῆς δὲ ὑπερτέραν τὴν δημιουργήσασαν τέχνην. Τοῦτον, εἰ μὴ αὐτῷ τις ἐλάττωσις, ἂν ἡμεῖς μετίωμεν, πέμπε καὶ μετελευσόμεθα· εἰ δὲ φαυλότητος δέδοικε κοινωνίαν παρὰ φαύλοις γενόμενος, αὐτοῦ που μένων παρὰ τῷ πατρὶ μόναις ἀκοαῖς ταῖς ἀξίαις σωζέσθω.

[1]) βεβαίως A.
[2]) ἐπισκόπτει A.
[3]) εἴτε A.
[4]) δὲ πολλῶν A.

ξθ') Τῷ Παχυμέρῃ

Δέσποτά μου σοφώτατε.

Ἀνέγνων τὸν λόγον πλεῖν ἢ τετράκις, ἔγνων δὲ οὐδ' εἰς ἅπαξ· καί με μὴ διά τι μέρος ὅπερ τοῦ παντὸς οὐ κατείληφα λόγου ἀπαγορεύειν νομίσῃς, ἀλλ' ὅ φημι τοῦτ' ἔστι· δίδωμι ἐμαυτῷ ξυνιέναι καὶ οὐτινοσοῦν τῶν ἐν τῷ λόγῳ οὐδ' ὅσα γεωργοῖς καὶ βουκόλοις τῶν ἐκ Πυθίας χρησμῶν καὶ ἴσως πρὸς ταῦτα τὸ τοῦ Πλάτωνος ἐρεῖς μοι καὶ ἀληθῶς ἐρεῖς, ὡς ἀμαθὴς εἶ, ἑταῖρε, καὶ οὐχ ἕπῃ· ἐγὼ δ' ὥσπερ τὴν ἐμαυτοῦ ἀμαθίαν ὁμολογῶ καὶ οὐκ ἀποκρύπτομαι· ὁρᾷς γὰρ οὕτω καὶ φιλολόγον ἐμαυτόν φημι, καὶ πάντα λόγων ἕνεκεν καὶ μαθήσεως κινεῖν προθυμότατον, οὗ χάριν καὶ περὶ τοῦ σοῦ λόγου τοῦδε, ὥστε τὰ ἐν αὐτῷ καταλαβεῖν ἰσχῦσαι ἱκέτης γίνομαι σός, καὶ ἱκέτης θερμός· καί σύ γε χρηστὸς ὢν καὶ ἀεὶ πρὸς ὠφέλειαν βλέπων μὴ ἀποκάμῃς φίλον ἄνδρα διδάσκειν, τοῦτο μόνον εὐεργεσίαν ἡγούμενον ἑαυτῷ ὅ,τι ἂν ποτε πάθοι παρά τινος.

ο') Τῷ Νεοκαισαρείτῃ

Ἀνὴρ ἐκεῖνος γράμματα ἔδοξε πέμπειν ἡμῖν, οὐ μὴν δὲ τῇ ἀληθείᾳ καὶ πέπομφε· πλὴν ὅσον δηλῶσαι ὅτι ἅπερ ἔδει πρὸς σέ, ταῦτα πρὸς τὸν ἐμὸν Μανουήλ, ὥσθ' ὥρα σοι παρ' ἐκείνου μανθάνειν. Ἀλλ', ὦ σύ, πάντα τοῖς σαυτοῦ εὑρισκόμενος ἐν καιρῷ τί μέλλεις ἔτι γνωρίζειν, ἅπερ καὶ πάλαι ἐχρῆν; ὡς ἔοικε μᾶλλον ταχὺς ἦν ὁ ἐκ τῆς πέραν ἠπείρου τριταῖος μέχρι σοῦ ἀφιγμένος καίπερ ἀκαιρίᾳ χρησάμενος καὶ χειμῶνι παρὰ τὸν πλοῦν· ἢ σὺ τὰ ἐκεῖθεν ἐκδιδάσκων ἡμᾶς καὶ ταῦτα οὐ πλέον διεστὼς ἢ ὅσον βουληθέντι εἰς χεῖρας ἡμῖν αὐτὰ τὰ γράμματα ἐκβαλεῖν, ἢ ἄλλος διδάξαι κεκυφότα πρὸς οὓς ἀπόνως διδάξαι· ἀλλὰ τί σοι πλέον ἐκ τῶν μακρῶν λόγων; ταῦτα μὲν γάρ σοι συνήθη καὶ πράττειν καὶ πάσχειν καὶ παρ' ἡμῶν ἀκούειν· πάντα δὲ πράγματα τὸ σὸν μέρος καὶ μικρὰ καὶ μείζω ἀπόλοιτο· οὐ γάρ σοι, ὅτι μὴ σαυτῷ σχολὴ τῷ προσέχειν τὸν νοῦν, οὔτ' ὀδυνωμένῳ ὄντι, καὶ ταῦτα ἐξ αἵμα-

τος, οὔτε φίλῳ ἀλγοῦντι οὔτ' ἄλλῳ ἀνθρώπων οὐδενί, φιλανθρωπία δὲ καὶ τὸ τὸν πλησίον ὡς ἑαυτὸν στέργειν καὶ εἴτι θεῖναι πρόσταγμα παραπλήσιον ἄλλως ῥήματα παρὰ σοί, ἐφ' οἷς εἴτις ἀνὴρ φίλα σοι φρονῶν ἐν τῷ βίῳ, δυοῖν τούτοιν δικαίως θάτερον εὔξαιτ' ἂν ὑπὲρ σοῦ· ἢ γνώμης τῆςδε μεταβαλόντα ἀμείνονα κτήσασθαι, ἢ μὴ τυχεῖν ποτε ἀνδρὸς προηρημένου τοιούτου φαίνεσθαι περὶ σὲ καὶ τὰ σά, ὁποῖός τις αὐτὸς νῦν ὁρᾷ περὶ τοὺς σαυτοῦ.

οα') Τῷ μοναχῷ Ἰασίτῃ

Ὅς σοι τὴν ἐπιστολὴν ἐγχειρίζει τῶν καθ' ἑταιρίαν ἐμοὶ προσηκόντων σχεδὸν ὢν παλαιότατος, τῆς ἑταιρίας ἔχεται μέχρι καὶ νῦν καὶ ἐπιτήδειός ἐστιν ἀμετάβλητος· οἰκεῖ δὲ μᾶλλον δὲ ᾤκει τὴν τοῦ Παντοκράτορος μονήν, ἀλλὰ νῦν ἐκεῖθεν ἀπελαθείς, καὶ τὴν αἰτίαν αὐτὸς διδασκέτω, εἰς ταὐτὸν κοσμικοῖς ἀνδράσι συνάγεται, ὅτι μηδ' ἔχει μετὰ μοναχῶν οἰκεῖν, ἀπορρηθὲν εἰς μηδεμίαν αὐτὸν δέχεσθαι τῶν ἐν Βυζαντίῳ μονῶν. Καὶ τοίνυν ὡς ἄχθεται τῇ τοιαύτῃ διατριβῇ καὶ οὐκ ἀνεκτῶς φέρει θορύβῳ κοσμικῶν ἀνδρῶν ἀναμίγνυσθαι, ἤθεσι τοῖς μοναχῶν καὶ διαίτῃ ἐξ ἔτι νηπίων ἀνακεκραμένος, τί χρὴ λέγειν; πλὴν οὕτως ἔχοντα, λογισμός τις ἐνέπεισεν, ὥς τισιν ἡμῖν προσιέναι—καὶ γάρ τοι δοκοῦμεν τοῖς πολλοῖς εἶναί τι, ἀπατωμένοις ὡς τὰ πολλὰ τοῖς ἔξωθεν ἡμῶν πλάσμασι—καὶ προσιόντα αἰτεῖν ὥσθ' ὑπὲρ αὐτοῦ δέησιν πρὸς τὸν θειότατον πατριάρχην ἀνενεγκεῖν, ἵν' ὥσπερ τῆς ἑαυτοῦ μονῆς προστάγματι ἐξερρίφη πατριαρχικῷ, οὕτω δὴ καὶ νεύσει τῇ πατριάρχου τῆς εἰς ἐκείνην αὖθις εἰσόδου τύχῃ· ἀλλ' εἰ μή με δέος ἅμα καὶ αἰδὼς εἶργον περὶ τῶν τοιούτων προσελθεῖν τῷ μεγάλῳ, κἂν ἡψάμην θερμότερον τῆς πρεσβείας, κἂν ἔπραττον ὡς οὗτος αἰτεῖ· ἐπεὶ δ' ἐμποδὼν ἵσταται τὰ εἰρημένα, καὶ τὸ τοσοῦτον θαρρεῖν ἀφαιρεῖται, ἀπεῖδον πρὸς δεύτερον πλοῦν, τὴν σὴν λέγω φιλίαν, ᾗ δὴ καὶ συνίστημι τὸν μοναχόν, θαρρήσας αὐτὴν ἔσεσθαι τὰ πρὸς τὸν πατριάρχην τῷδε, ὅσα περ

καὶ Γεώργιος ἔμελλεν, εἰ ἀδείας ἐπειλημμένος ἐτύγχανε. Τοῦτον τοίνυν εἴπερ εἰς δύναμιν εὖ ἐργάσῃ, ἀληθῶς μὲν ἔσῃ κἀμοὶ χαριζόμενος, χρὴ δὲ νομίζειν, ὡς πολὺ μᾶλλον τῇ σαυτοῦ ἀρετῇ, δι' ἣν εἰκὸς καὶ τῶν ὑπὲρ δύναμιν ἅπτεσθαι, ὅταν τίς σου δεόμενος φαίνηται· ὅτι δ' εἰ μόνον ἐπιχειρήσεις, καὶ εὖ ποιῆσαι δυνήσῃ, καὶ διαμαρτεῖν οὐκ ἔσται, θαρρῶ μὲν ἐγώ, θάρρει καὶ σύ, γινώσκων ὡς δυσωπηθῆναι ταχὺς ὁ τὴν ἱκεσίαν δέχεσθαι μέλλων καὶ ὡς οἴκοθεν[1] βιάζεται πρὸς συμπάθειαν· ὃν εὖ ἴσθι καὶ ἐπὶ πλέον πρὸς ταῦτα κινήσων, εἰ μεταξὺ πρεσβεύων παρενείροις καὶ ὅσος τῷ ταλαιπώρῳ τούτῳ ἐπήρτηται κίνδυνος ἐπὶ χρόνον ἔξω διατρίβοντι τῆς μονῆς καὶ δυοῖν τοῖν παλαμναιοτάτην ἐχθροῖν μέσῳ ἐναπολαμβανομένῳ βελίαρ τε καὶ σφριγώσης νεότητος· καὶ ἃ μὲν ἐγὼ ζητῶ σε, σὺ δὲ τὸν δεσπότην μέλλεις τὸν πατριάρχην, οὕτως εὔλογα· οὐκοῦν θαρρήσας Θεῷ δικαίων αἰτήσεων πληρωτῇ αὐτίκα μάλα πράττε τὴν ἱκεσίαν.

οβ') Τῷ Μελιτινιώτῃ

Εὔχομαι εἰς Θεὸν ἵνα κἂν αὐτὸς ὑγιαίνοις ἐγὼ δὲ περὶ τούτου πολλάκις εὐξάμενος καὶ πολλάκις αἰτήσας Θεὸν οὐκ ἠδυνήθην τυχεῖν· τάχα ὅτι κακῶς αἰτῶ καὶ ἀσυμφερόντως ἐμοί, ὡς μέλλων ἐν οἷς μὴ φίλον Θεῷ καταδαπανῆσαι τὴν εὐεξίαν τοῦ σώματος· ἀλλ' ἴσως περὶ τῆς ψώρας ὑπολαμβάνεις δυσχεραίνειν ἐμέ, ἥτις βαρεῖά τε καὶ ἐπὶ χρόνον ἤδη πολὺν ἐνσκήψασά μοι οὐ μόνον τὴν ἐν σαρκὶ ἐκμυζήσασά ἐστιν ὑγρότητα, ἀλλὰ καὶ εἴ τις ἰκμὰς ἐν βάθεσιν ὀστέων ἐκρύπτετο· ἐγὼ δὲ οὐ περὶ ταύτης νυνί, οἶδα γάρ σε ὡς καὶ ὀφθαλμοῖς αὐτοῖς ἔχεις τὸ τοιοῦτον ἕλκος κατειληφώς, τὸ δὲ πρότριτα δεινὸν ἐκεῖνο λέγω, ὅπερ παρὰ προσδοκίαν συμβάν, εἰ μὴ ὁ ἀγαθὸς ἐρρύσατο, οὐκ ἂν ἐπεσχέθη οὐδενὶ τρόπῳ τοῦ μὴ ἐκστῆσαι ἡμᾶς τῶν παρόντων· πυνθάνῃ ὅ,τι ποτὲ ἦν ἐκεῖνο καὶ ὅπως συνέστη; τρίτη παρῆλθεν ἐκ τῆς πρώτης τῶν νηστειῶν ἡμέρα,

[1]) καὶ οἴκοθεν B.

κἀγὼ προσηρχόμην τῷ ὕδατι καὶ ἔπινον ἀμφότεροι ἀδεῶς καὶ ἡδέως· σὺ δέ μου καὶ ἄλλοτε κατηγόρησας ὡς ἀσυμμέτρως ὑδροποτῶ, καὶ πάλιν κατηγορεῖς ὡς ἔγωγε ὁ αὐτός εἰμι ἔτι καὶ νῦν, καὶ ἠλλοίωμαι οὐδὲ μετὰ τὴν πληγήν. Καὶ τοίνυν ὡς ἔπινον τοῦτον τὸν τρόπον, ἦσαν μέντοι λυπηροὶ τῇ κεφαλῇ μου καὶ οἱ ἐκ τῆς ψυχροποσίας ἀτμοὶ εἰς αὐτὴν ἅπαντες ἀνιόντες καὶ ἀποκαθιστάμενοι, ἐλύπει δὲ οὐχ ἥκιστα καὶ τὸ ἔξωθεν ψῦχος, ὅπερ ἦν ἐκ τῆς ὥρας, καὶ ἦν ὁ πόλεμος ἑκατέρωθεν πολὺς τῇ ἀκροπόλει τοῦ σώματος καὶ ἐπεκράτει σαφῶς ἐν αὐτῇ τὰ χείρω· ἐντεῦθεν γὰρ κατάψυξις ἐγκεφάλου καὶ πλήρωσις κεφαλῆς ἐξ ἀπέπτων ὑγρῶν, καὶ κατάρρους καὶ ὅσα τοῖς τοιούτοις ἀκολουθεῖ· ἔδει γὰρ συμφόρησιν τοιαύτην γενέσθαι ἵν' ἱκανῶς ὁ ἡμέτερος ὄλεθρος συγκροτῆται· ἀλλ' εἰ μὲν οἱ μυκτῆρες ἐλευθέρως εἶχον καὶ δίοδος ἦν τοῖς ὑγροῖς, τάχα σὺν χρόνῳ ταῦτα ἐκφορηθέντα παρέσχον ἄν ποτε ῥαΐσαι τῇ κεφαλῇ· νυνὶ δ' ἐκείνων πνεύματι, εἴ τινι ἄλλῳ συμπτώματι ἀποφραγέντων, ἡ πᾶσα ἐπιρροὴ κατὰ τοῦ φάρυγγος γέγονε· καὶ ἐτραχύνθη μὲν οὗτος ἐκ τῆς ψυχρότητος καὶ τοῦ τῶν ῥευμάτων πλήθους, ᾤδηκε δὲ ἡ ὑπερῴα, ἐπεσχέθη δέ μοι ἡ φωνή, ἀπεκλειόμην σιτίων, ἀπεκλειόμην πόματος, ὅτι οὐκ ἀπραγμόνως ἔσπων οὐδ' αὐτοῦ τοῦ ἀέρος· βῆχες ἐπὶ τούτοις συνεχεῖς ἦσαν ἀπὸ τοῦ στήθους, πνιγμοὶ συνεχέστεροι, ὁ κίνδυνος προφανὴς καὶ ἀνθρωπίνως εἰπεῖν, τῆς σωτηρίας ἀπόγνωσις. Καὶ τὸ μὲν δὴ συνενεχθὲν ἡμῖν τοιοῦτόν τι ἦν καὶ οὕτω συνέστη· ἀνηνέγκαμεν δὲ ὅμως ἐκ τούτου νεύσει Θεοῦ, ὃς δὴ καὶ πνεῦμα ἐξήγειρεν ἀνδρὸς ἰατροῦ τὴν ἴασιν εἰς ἡμᾶς ἐνεργῆσαι, καὶ ἐνήργησεν οὗτος καλῶς· ὁμοῦ τε γὰρ ἐν τούτοις ὄντας εἶδεν ἡμᾶς καὶ συμφέρον εἶπε τὴν φλεβοτομίαν, καὶ προσέταξε χρήσασθαι, καὶ ἐχρησάμεθα· καὶ ἐξ ἐκείνου ῥᾷον μὲν ἔσχομεν, πλὴν οὔπω καὶ σήμερον καθαρῶς ἀπηλλάγημεν· ἥ τε γὰρ βὴξ ἔτι μένει πολλή, ἥ τε περὶ τὸν ἦχον τραχύτης, τῶν ἄλλων δὲ πλὴν τῆς ἐσχάτης ἀδυναμίας καὶ τῆς δίψης τό γε νῦν ἔχον οὐδὲν ἐνοχλεῖ. Τὴν δὲ δὴ ψώραν ὡς ἀλλότριόν τι παρὰ ταῦτα εἶδος κακοῦ καὶ πάλαι γνώριμον ἐξαίρω λόγου· εἰ δὲ καὶ πά-

λιν ἀκούειν, τί περὶ ταύτης αἱρῇ, νέα τις ἔστι καὶ ἀκμάζουσα τὸν ἀεὶ χρόνον ἄλλη ἐπ' ἄλλην ἐκ βάθους ἐγειρομένη, οἵους τοὺς τοῦ Σύλλα φθεῖρας παρὰ Πλουτάρχῳ ἀκούεις, δι' ἣν οὔτε καθεύδειν συγχωρούμεθα, καὶ πᾶσαν ἣν ἄν τις ὀνομάσοι βρῶσιν ἀηδῶς προσιέμεθα· ἧς δὴ καὶ τῶν ἄλλων ἀπαλλαγῆναι ὅσα τῷ ταλαιπώρῳ ἐνοχλεῖ σκήνει, εἰ συμφέρει, εὔχου καὶ αὐτός, ναὶ δυσωπῶ πρὸς Θεόν· εἰ δὲ μὴ συμφέρει, οὔτ' ἐγὼ βουλοίμην ποτὲ τὴν ἀπαλλαγήν, μήτε σὺ εὔχου· εἰ γὰρ καὶ τῶν ἡδέων ἔσθ' ὅτε ἀποτυγχάνοντες δυσχεραίνομεν, ἀλλ' οὐ πάντοτε φίλα ἡμῖν τὰ τοιαῦτα τοῦ συμφέροντος προτιμᾶν, ἐκεῖνο δὲ τοῦτο ὡς ἐπὶ τὸ πολύ.

ογ') Τῷ μοναχῷ κὺρ Μεθοδίῳ

Ἐρωτᾷς τί ἡμῖν ἡ ὠφέλεια τῶν πρὸς σὲ βούλεται γραμμάτων, οὐκ εἰωθὸς ὂν δέχεσθαί σε τοιαῦτα τὰ παρ' ἡμῶν· οὐδὲν ἕτερον, ὦ 'γαθέ, ἀλλ' ἢ σαφέστερον τὰ ἐπεισπεσόντα ἡμῖν ἀνιαρὰ καὶ τὴν ἀλλοίωσιν, ἣν διὰ ταῦτα πεπόνθαμεν παραστῆσαι· καὶ γάρ τοι ἵνα συντόμως ἐξείπω τὸ πᾶν νόσος ψυχῆς ἐκ προαιρέσεως πονηρᾶς καὶ φαύλης συστᾶσα τὸν ἡγεμόνα νοῦν τῶν ὑψηλοτέρων κατὰ φύσιν δρόμων κατήνεγκεν, ὡς ἐντεῦθεν χαμαίζηλα καὶ νοεῖν καὶ φθέγγεσθαι συμβαίνειν, καὶ οἷα οὐδέποτε πρότερον, ὅτ' ἐκεῖνος μετέωρος ὢν πάντα συμμετεωρίζων ἦν τὰ ἡμέτερα· τῷ δὲ δὴ τοιούτῳ δεινῷ οὐ μετρίῳ ὄντι ἄνθρωπον ταπεινῶσαι καὶ σώματος ἀρρωστία συνεπιθεμένη καὶ αὐτὴ χαλεπωτάτη ὅσῳ καὶ πολυχρονιωτάτη ὧν οἶδα ἐμοὶ συμβῆναι, τὸ πᾶν ἡμῶν ἀνέτρεψεν εἰς γῆν καὶ κατέβαλε· κείμεθα λοιπὸν ἔχοντες λέγειν ὡς καλῶς πράττομεν κατ' οὐδὲν τῶν ἡμετέρων, κατὰ πάντα δὲ ὅτι κακῶς, εἶτα τὸν οὕτως ἔχοντα ἐπιστολῶν ζητεῖς ἀρετὴν μετὰ τὴν τῆς ψυχῆς, μετὰ τὴν τοῦ σώματος καχεξίαν; καὶ πῶς οὐκ ἂν ἀδιακρίτως αἰτίῃς; ἐγὼ μὲν οὖν ἔργα παρασχεῖν μοι τὰ τῶν ὁλοκλήρως ὑγιαινόντων οὐδ' ἄν ποτε, οὐδὲ τὸν καθ' ἓν μόνον τούτων νοσοῦντα ἠξίωσα· ὅταν δὲ κατ' ἄμφω ὁρᾶταί τις κακῶς διακείμενος, ἢ τίνος ἀπολο-

γίαν πρός γε τοῦτο δεήσει; τῷ ὄντι γὰρ μέγιστον εἰς λόγους ἐμπόδιον ὅταν φαύλως περὶ τὸ καλὸν διάκηται ἡ ψυχὴ καὶ περὶ τὴν διασκόπησιν[1] τῶν ὄντων ὁ τεχνίτης νοῦς ἔχῃ πεπλανημένως· καὶ τὸ σῶμα δὲ καὶ αὐτὸ πονήρως ἔχον οὐ μικράν τινα τὴν ἔνστασιν πρὸς ἐπίδειξιν καλῶν λόγων παρέξεται· αἴτιον δὲ τούτου ὅτι δύναμις ἅπασα ἡςτινοσοῦν ἐπιστήμης καὶ τέχνης ἐκ νοὸς ὡρμημένη τὸ πρῶτον, οὐκ ἄν ποτε τοσοῦτον προέλθῃ ὥστε καὶ ἔργῳ φανῆναι καὶ αἰσθήσει γενέσθαι καταληπτή, ὅτι μὴ διὰ σώματος καὶ τῶν σωματικῶν ὡς δι' ὀργάνου τινός· οὐκοῦν μέλλει τι δεξιὸν ἐκεῖθεν φανῆναι, ἀμφότερα ἐρρῶσθαι δεῖ τὸν τεχνίτην αὐτόν, καὶ τὸ δι' οὗ ἡ τέχνη γίνεται ἐμφανής· ἂν δὲ καὶ ἄμφω ταῦτα ἢ καὶ θάτερον πλημμελῶς ἔχον ἐστίν, ἀνάγκη πᾶσα καὶ τὸ τῆς τέχνης ἀποτέλεσμα ὡς πλεῖστον λείπεσθαι τῆς ὀρθότητος· ὅγε δὴ καὶ εἰς ἡμᾶς συμβαῖνον ὁρῶν τὰ ῥηθέντα ἤδη αἴτια εἶναι καταλογίζου.

οδ') Τῷ Κορέσῃ μοναχῷ Ἀγάθωνι

Ἔτι περιττῶς ἔχομεν τῶν ἀνιαρῶν καὶ πλοῦτον ἁμαρτωλῶν πλουτοῦμεν τὰς ἀσθενείας, καὶ τοῦτο πάνυ δικαίως· οἷα γὰρ ἐσπείραμεν τοιοῦτον πάντως ἡμῶν καὶ τὸ γεώργιον ἔσται· ἀλλὰ τυχεῖν ἀπαλλαγῆς ποτε ἢ μὴ βαρέως φέρειν τὴν μάστιγα ἔργον ἂν εἴη Θεοῦ καὶ τῶν σῶν εὐχῶν. Ἐπεὶ δὲ μέλλομεν ἤδη καὶ πόματα καθάρσια σὺν Θεῷ προσφέρειν, πληθυντικῶς δὲ εἴρηκα, ὅτι καὶ πρὸς πολλὰ παρεσκεύασμαι, γενοῦ μοι καὶ σὺ ἐντονώτερος τὴν πρὸς Θεὸν ὑπὲρ ἡμῶν ἱκεσίαν, ὡς ἂν εἰ μὴ ὠφελείας ἐκ τῆς χρήσεως τύχωμεν, εἰς γοῦν τὴν ἀρχαίαν ἕξιν μὴ ζημιωθῶμεν· ὅτι δὲ οὐ μέτριος ἐν τοῖς τοιούτοις ὁ φόβος πάντως γε καὶ αὐτὸς συνεπίστασαι, καί γε ἀγωνιᾶν σε ἤδη νομίζω καὶ μετέωρον εἶναι τὴν τοῦ πράγματος οἵαν ἕξει ἀπεκδεχόμενον τελευτήν· εἶεν. Σὺ δὲ μὴ τὴν ἀσθένειαν συμβῆναι ἐκ τοῦ μὴ ἐπιμελεῖσθαι τοῦ σώματος νόμιζε· καὶ γὰρ ἕνεκα τούτου καὶ πολλὴν ἔδει τὴν ὑγείαν παρεῖναι ἡμῖν, καὶ πρώην βλακείᾳ προκειμένοις καὶ νῦν βλακικωτέροις

(1) διακόπησιν ὁ κῶδ.

ἑαυτῶν γεγονόσιν, ὡς καὶ τῷ φίλτρῳ μᾶλλον ἐπιδεδωκόσι τοῦ σώματος· ἀλλ' ἔστιν ἡμῖν αἰτία τῆς φανερᾶς τῆς δε νόσου ψυχῆς ἀθέατος νόσος, ἣν ἤσκησαν ἐκ πολλῶν ἤδη τῶν χρόνων προαίρεσις ἄτοπος καὶ γνώμη νεύουσα πρὸς τὰ χείρω· ἣν εἰ μὴ δεόντως ἰατρεῦσαι θελήσομεν—πρὸς γὰρ ἡμῶν ἡ ταύτης ἐστὶ θεραπεία—οὐδὲ τῆς ἐν ὀφθαλμοῖς ὁρωμένης ἀπαλλαγησόμεθα· πρὸς ταῦτα πρόφερέ μοι σὺ διαίτης πονηρίαν καὶ μοχθηρίαν τροφῆς καὶ σκήνους ἀτημελησίαν καὶ ὅσα σοι φίλον ἀνεπιστημόνως ἐμοὶ ἐγκαλεῖν· ὡς οὐδείς γέ σοι ἐπιτιμῶν ἔσται μὴ τὰ κατὰ προαίρεσιν λέγειν· ἐγὼ δέ σε τὴν τιμίαν ἐμοὶ κεφαλὴν τοῦτ' ἀξιῶ ἀντὶ πάντων· εὔχου περὶ σωτηρίας ψυχῆς, ἧς δὴ ἕνεκα μήπως ἀποτυχεῖν γένηται, καὶ ὁ πᾶς ἐμοὶ φόβος ἐστί, τοσαύτην γὰρ ἐμαυτῷ πρὸς αἵρεσιν τοῦ καλοῦ σύνοιδα ῥᾳθυμίαν, ὑγείας δὲ πέρι καὶ νόσου πάντως, ὅγε τοῖς δυοῖν συμφέρον ἐστίν, ἐκεῖνο ἐν ἡμῖν καὶ πρὸς τοῦ σώζοντος οἰκονομηθήσεται.

οε') Τῷ Μελιτινιώτῃ

Ἰδού σοι πέπομφα καὶ τὸ ἕτερον Ἀριστείδου βιβλίον· πέπομφα δὲ οὐχ ἑκών, ἀλλ' ὑπὸ τῆς ἀγάπης τυραννηθείς· τετυράννημαι δὲ οὐκ ἄκων ἀλλ' ἑκουσίως, ὡς συμβαίνειν ἐντεῦθεν αἴνιγμα εἶναι καὶ λέγεσθαι τὴν ἀποστολὴν τοῦ βιβλίου, ἑκουσιοακούσιον, τοῦτο δὴ τὸ περὶ τὰς φονικὰς δίκας θρυλλούμενον· καὶ ὥσπερ ἐγὼ τοὐμὸν μέρος θεσμὸν φιλίας πεπλήρωκα, οὕτω που καὶ σὺ τὸ σὸν ἐκπληρῶν φάνηθι, ἵνα μὴ τῷ ἴσῳ σκάζον, ἀλλὰ παντάπασιν εὐτελὲς τὸ ἡμέτερον ᾖ· ἐκπλήρωσις δὲ πῶς; ἂν καὶ σὺ λέγοντος ἐμοῦ τάχιόν σε χρὴ διελθεῖν τὸ βιβλίον καὶ τάχιον ἀποκαταστῆσαι ἡττηθεὶς τοῦδε τοῦ λόγου, καὶ ἀποκαταστήσῃς· οὕτω γάρ πού φασι, καὶ ἀληθέστατά γέ φασι, τὴν φιλίαν συνίστασθαι, εἰδέναι τοὺς λέγοντας· ἀλλήλους φιλεῖν καὶ παρὰ μέρος ἀλλήλων ἡττᾶσθαι· τὸ δ' αὐτὸν ἀξιοῦν ἀεὶ θατέρου κρατεῖν, ἡττᾶσθαι δὲ ἀνέχεσθαι μηδεπώποτε, οὐ φιλίως ἀλλήλοις χρωμένων ἔργον ὑπάρχειν, τῶν δὲ εἰρημένων δεσποτῶν καὶ εἶναι καὶ ὀνομάζεσθαι· εἶεν. Τὰ δ' ἄλλα γράφειν, ὅτι τὸ πυκτίον πόνος ἐμὸς

καὶ στέργω καὶ βούλομαι μηδεμίαν μηδέποτε φθορὰν αὐτῷ εἴ τινα ὅλως ἐπισυμβῆναι βλάβην, ταῦτα μὲν γράφων σοι περιττὸν οἶδα. ἥγημαι γάρ σε πάλαι εἰδέναι· καί μοι διὰ ταῦτα τηρήσοις τοὐμὸν οἷον μάλιστα χαίρω καὶ αὐτὸς ὁρῶν· τοῦδε δέ, εἰ μνησθήσομαι οὐ περιττὸν ἐρεῖς, ἀλλὰ σαφῶς εἶναι τῆς χρείας· πολλῆς τῆς διορθώσεως χρῄζόν ἐστι τὸ βιβλίον· οὐκοῦν ἢ αὐτὸς ἔσο ὁ ταύτης ἀξιώσων αὐτό, ἢ τό γε δεύτερον καὶ ἀπονώτερον κατὰ τὴν χώραν γενόμενος ἔνθα μὴ ἄμεινον ἔχειν δεῖ, πρὸς τῇ λευκῇ περιφερείᾳ κατ᾿ εὐθεῖαν τοῦ πταίσματος, σημεῖόν τι γράφε διορθώσεως· καταδήλων γὰρ ἐκ τῶν σημείων τῶν μὴ καλῶς ἐχόντων χωρίων γεγενημένων, οὐ δυσχερές τι τοῦ λοιποῦ πρᾶγμα φανήσεται τὸ προσῆκον ἡμᾶς ἀποδιδόναι τῇ βίβλῳ.

οστ΄) Τῷ Σταυρακίῳ

Ὁ μὲν καιρὸς ἐξ ὅτου σε τὴν σεβασμίαν ἐμοὶ κεφαλὴν οὐ προσείρηκα, καὶ ταῦτα περὶ πλείστου τοῦτο ποιούμενος, πάνυ πολύς, ἀλλὰ σύ γε οὐ διὰ τοῦτο ἡμᾶς εὐθυνεῖς, οὐδ᾿ ἐθελήσεις λόγον ἀπαιτῆσαι οὐδένα· ἢ τίνα ἂν ἀπαιτήσῃς, ὅπου γε τὸ ἐμπόδιον οὐχ οἷον καὶ λανθάνειν ἐστίν; ἀλλ᾿ ἐπειδή περ ἐκεῖνο, ὅ,τι περ ἄρα καὶ ἦν, ἐκποδὼν ἐγένετο νεύσει Θεοῦ, πάροδος δὲ ἤδη τοῖς ἡμετέροις γράμμασιν ἀκωλύτοις μεθ᾿ ὁτουοῦν ἥκειν πρὸς σέ, τὸ εἰκὸς ἀφοσιούμεθά σοι καὶ ἅμα μὲν προσφθεγγόμεθά σε, ἅμα δὲ καὶ ὑγείαν σώματος καὶ ῥῶσιν καὶ ψυχῆς εὐθυμίαν καὶ πᾶν ὅ,τι καλὸν ὡς καὶ ἡμῖν αὐτοῖς, οὕτω καὶ σοὶ παρὰ Θεοῦ ἐπευχόμεθα· ἅμα δὲ καὶ ἀδελφικωτέρᾳ, ἵν᾿ οὕτως εἴπω, στοργῇ κινούμενοι πυνθανόμεθά σου· πυνθανόμεθα δέ, πῶς ποτε ὁ πάντα καλὸς κἀγαθὸς σὺ τὸν μεταξὺ χρόνον διήνεγκας, ὅτε καὶ τὰ πρὸς ἀλλήλους ἡμᾶς ἀνομίλητα ἔμενεν, εἴκοντα καὶ αὐτὰ τῇ βαρύτητι τοῦ καιροῦ[1]· ἀλλ᾿ εἴη καὶ πρὸς ταυτηνὶ τὴν ἐρώτησιν, καὶ εἴ τις παραπλησίως γένοιτο ἐν τῷ μετὰ ταῦτα χρόνῳ, ἔχειν σε περὶ σαυτοῦ τὰ κρείττω ἀποκρινεῖσθαι, ὁποῖα δὴ καὶ τὰ τῶν ἡμετέρων εὐχῶν, ὡς ἂν καὶ ἡμεῖς, εἰ καὶ μηδὲν ἔχομεν ἴδιον, οἷον εὐφραίνεσθαι ἐπ᾿ αὐτῷ, διὰ σὲ γοῦν

[1]) κηροῦ Λ.

καὶ τὴν σὴν εὐεξίαν εὐδαιμονεστέρων ἡμῶν αὐτῶν αἰσθανόμενοι, μετὰ τῶν εὐφραινομένων ὦμεν· τοῦτο δὲ δίδωσί μοι οὕτω καὶ ὑπολαμβάνειν καὶ λέγειν, ὅ τε τῆς ἀγάπης δεσμός, εἰς ἓν ἡμᾶς ὡς κάλλιστα συνάγων καὶ συντιθέμενος, ἥ τε πολυύμνητος παροιμία, ἡ κοινὰ τὰ τῶν φίλων εἶναι θεσπίζουσα.

οζ') Τῷ αὐτῷ

Ἄνω καὶ κάτω σου τῶν ἐπιστολῶν οὐκ ἀνίῃς εὐδαιμονίζων ἡμᾶς, καὶ θαυμαστὸν οὐδέν· οὐ γὰρ αἰσθάνῃ τῆς ἐν βίῳ ταλαιπωρίας ἡμῶν· εἰ δ' ἐτύγχανες αἰσθανόμενος, πάντως ἀφεὶς ᾄδειν εὐδαιμονίας καὶ μακαριότητας, μεταβαλὼν ᾖσας ἄν[1] τὴν παλινῳδίαν· οὐ γὰρ οἶμαί τινα τῶν ἡμετέρων ἔχοντα ἐπιστήμην ἐθελῆσαί ποτε, εἰ μὴ παίζοι, τοιούτων πρὸς ἐμὲ μνησθῆναι φωνῶν, ὁποίων αὐτὸς οὐκ οἶδ' ὅπως καὶ ὑπὸ τίνος κινούμενος μέμνησαι. Τὰ μὲν γὰρ ἔνδον ἡμῖν καὶ ὅσα αἰσθήσεσιν ἄβατα, πονηρὰ καὶ ἐφάμαρτα, ὥστε καὶ τὸ τῆς γεέννης ὑμνούμενον πῦρ, εἰ τούτου κολάζοντος τύχοιεν, φιλάνθρωπος ἂν αὐτοῖς νομίζοιτο τιμωρία· τὰ σωματικὰ δὲ καὶ φαινόμενα κόπων καὶ πόνων πλήρη καὶ οὐδαμοῦ ῥαστώνη, νόσοι δὲ συνεχεῖς καὶ ποικίλαι, καὶ φθίσεις καὶ ἐκλύσεις τουδὲ τοῦ σκήνους καὶ ἰδέα πᾶσα κακοῦ. Τὰ δὲ τῆς ἔξωθεν φαντασίας, εἰ ταῦτά σε διεγείρει μακαρίζειν ἡμᾶς,—καὶ τί γὰρ ἄλλο;—σκιὰ καὶ ὄναρ εἰσὶ καὶ αὐτὸ τοῦτο σαφὴς φαντασία, τοσοῦτον πρὸς εὐδαιμονίαν τελοῦντα, ὁπόσον τι καὶ πρὸς γένεσιν ὄμβρων καὶ ὑετῶν συνεισφέρει[2] καπνός, ἢ πρὸς τὰς μεθ' ἡμέραν καὶ ἀληθεῖς ἡμῶν ἐργασίας, τὰ ἐν ὕπνοις φαινόμενα. καὶ ὅπερ οὖν ἔφην, οἷς ἡμεῖς κάμνομεν, σὺ μηδὲν ἐπαΐων μηδέ τι περὶ τούτων λέγειν ἔχων σαφές, κάθησαι προσέχων τοῖς ἡμετέροις ὀνείρασι, καὶ εὐδαίμονας λέγεις καὶ μακαρίους ἀνθρώπους τοὺς εἰς ἔσχατον ἥκοντας ἀθλιότητος, ὀνειροπολῶν οἶμαι τρόπον τινὰ καὶ αὐτὸς καὶ φάσμασιν ἀλλοτρίοις καὶ σκιαῖς εὐωχούμενος. Ἀλλ',

[1]) ᾖσας τὴν παλινῳδίαν B.
[2]) συνεισφέρειν A.

ὦ χρηστέ, ἥκιστα τοῦθ' ἡμῶν ἔργον τῶν φιλοσόφων τὸ τοιαῦτα θαυμάζειν οὐδ' ἁπλῶς ὅ,τι τύχοι περὶ οὑτινοσοῦν ἀποφαίνεσθαι, ἀλλὰ φιλοπονίᾳ πρότερον ἡμμένους τῆς ἀληθείας, ὅταν μὴ ἐξῇ ἐκ τοῦ προχείρου ταύτην λαμβάνειν, τοὺς λόγους μετὰ ταῦτα ἐκφέρειν, φύσει τε κατωχυρωμένους, καὶ ἀκολουθίᾳ πραγμάτων, καὶ πανταχόθεν τὸ ἀναντίρρητον ἔχοντας. Οὕτω γὰρ ἂν καὶ οὗτοι ἡμῶν[1] οἱ λόγοι δόγματα καλούμενοι δικαίως καλοῖντ' ἄν· καὶ τὰ πρεσβεῖα φέροντες κατὰ πάντων τῶν ἄλλων, τὸ ἀρχαῖον σφίσιν ἀξίωμα σώζοιεν.

οη') Τῷ Μαρμαρᾷ Γεωργίῳ

Ἐξότου τὰς μεμβράνας εἰλήφεις μῆνες ἤδη παρῆλθοσαν τρεῖς· ἔργον δὲ ἦν ὥστε αὐτὰς γράψαι, ἐπὶ τούτῳ γὰρ οἶμαι καὶ ἔλαβες, οὐ τοσούτου χρόνου, ἀλλ' ἡμερῶν πεντεκαίδεκα. Τί λοιπὸν οὐκ ἀποστέλλεις αὐτὰς ἢ γεγραμμένας ἢ μή; ἢ εἰ μηδ' ἀποστεῖλαι βούλει, τί μὴ γνώριμον ἡμῖν τοῦτο ποιεῖς καὶ ματαίας ἐλπίδας καὶ προσδοκίας ἀπάγεις; Πρὸς Θεοῦ φίλος, δυοῖν θάτερον ὡς ἔχεις ταχέως ἔργασαι, ἢ ὡς ἔχουσι τὰ δοθέντα ἀπόστειλον, ἢ ὅτι οὐκ ἀποστέλλω οὐδ' ἂν ἀποστείλαιμι μήνυσον. Καὶ ἡμῖν γε τοῦτο ἀντὶ παντὸς ἀποχρήσει· ἐντεῦθεν γὰρ καὶ τοῦ ἀνήνυτα ἐλπίζειν παυσόμεθα, καὶ τὸ δέον[2] τῷ ἡμετέρῳ βιβλίῳ ἑτέρωθεν φροντίσομεν συμπορίσασθαι· σὺ δ' ὡς καὶ πρώην φίλος ἡμῖν διαμενεῖς, καὶ τὸ κεῖσθαί σοι παρ' ἡμῖν χάριν, οὐ μᾶλλον διὰ τὸ τελευταῖον τοῦτ' ἀπολέσεις, ἢ σωζόμενον ἕξεις τῶν ἄλλων σου πόνων ἕνεκεν, οὓς πολλοὺς καὶ καλοὺς ἡμῶν γε χάριν καὶ τῶν ἡμετέρων ἐπόνεσας. Καὶ γὰρ πρὸς ἡμῶν αὐτῶν καὶ πρὸς ἄλλων διδασκάλων μυρίων σχεδὸν πεπαιδεύμεθα μὴ τοῖς ἐλάττοσι, τοῖς δὲ πλείοσιν ἀεὶ νέμειν τὴν ψῆφον, καὶ ἓν ἐλάττωμα πολλοῖς ἀγαθοῖς συσκιάζειν, ὃ δὴ καὶ νῦν τηρήσομεν ἐπὶ σοί· καὶ πολλὰ μέν σου καὶ καλὰ λογιούμεθα· τὸ δὲ ἓν τοῦτο ἐκ τῆς μνήμης ἀφανιοῦμεν καὶ τῇ ὀρθῇ κρίσει εἰς οὐδὲν λελυμασμένοι ἐσόμεθα.

1) ὑμῶν A.
2) καὶ τὸ ἓν δέον A.

οθ´) Τῷ Θεογνώστῳ Ἰωάννῃ[1]

Χρηστὰ ταῦτα ἢ ὅλως ἀνεκτά, ἃ σὺ ποιεῖς εἰς ἡμᾶς; ποῦ αἱ ἔναγχος ὑποσχέσεις; συνέθου ἐλθεῖν, καὶ οὐκ ἦλθες· εἴθε μηδὲ συνέθου· δυοῖν γὰρ ἂν οὕτως ἦμεν τῶν χειρίστων ἀπηλλαγμένοι, τοῦ τε ἀπατηθῆναι ὥσπερ παιδία, καὶ τοῦ μὴ δυσκρασίᾳ ἐκ βαλανείου περιπεσεῖν, ὀλεθρίῳ ἔμοιγε πάθει καὶ δυσιάτῳ· καὶ νῦν μάλιστα ὅτε θέρος ἐστί, καὶ πάντα πρὸς τὸ ξηρότερον μετατίθεται· πλήν, ὦ πρὸς Θεοῦ, φράσαις καὶ ἡμῖν τὸν λόγον, ὃς κατανεῦσαι μὲν εἰς κοινὴν τράπεζαν συνελθεῖν ἔπεισεν εἶτ' ἀνασχετῆσαι καὶ ἀθετῆσαι καὶ ἡμᾶς εἰκῇ καθημένους ἐᾶσαι δεδοικότας μή, ὅπερ σὺ πεποίηκας εἰς ἡμᾶς, ὦμεν καὶ αὐτοὶ πεποιηκότες πρὸς σέ· καὶ διὰ τοῦτο νήστεις ὥραν ἐξ ὥρας ἀμείβειν, νῦν λέγοντας ἐλθεῖν, ἀλλὰ νῦν μέχρις οὗ τὴν ἡμέραν ὅλην λαθεῖν ἀναλῶσαι· καὶ ὄφελον εἶχές τι τῶν εὐλόγων εἰπεῖν καὶ ἀπεκδύσασθαι τὰς αἰτίας ἰσχῦσαι[2], ἵνα καὶ αὐτὸς τοῦ μέμφεσθαί σοι ἀπέσχον—οὕτω φιλάνθρωπός εἰμι πρὸς γοῦν σὲ καὶ ἀδικούμενος—ὅμως ἐρεῖς οὐδέν· οὐδὲ γὰρ ἔχεις· ὅθεν καὶ ἀναγκαίας δέχου τὰς μέμψεις καὶ τιμωρούμενος φέρε. Ἀλλὰ τί ἄν σοι δικαίως μέμφοιτό τις; τί δὲ καὶ εἰς τιμωρίαν ἐπάγοι; μέμφοιτο μὲν ὅτι χαίρεις ἀπάτῃ, καὶ λέγεις μὲν πράττειν, πράττεις δ' ὡς λέγεις οὐδέποτε· καὶ τρίτον, ὅ σοι μάλιστα προσφιλές, θέλεις ἐπὶ τοῖς αὐτοῖς οὐδαμῶς[3] ἵστασθαι· τιμωρίαν δ' ἐποίσει μήτ' αὐτὸς[4] προσκαλέσασθαί ποτε, μήτ' ἄκλητον ἰόντα προσδέξασθαι, ἄστροις δὲ μόνοις ἐᾶσαι τὰ ἐνταῦθα τεκμαίρεσθαι· καὶ οἶδα μὲν ὡς παρὰ πᾶν ἕτερον ἐλαφρόν σοι τουτί· πῶς γὰρ οὔ, ὅς γε καὶ καλούμενος χαίρεις μὴ ἐνδημῶν; ἀλλ' ἔμοιγε ὡς ἄρα καὶ ἔχει, ἱκανῶς ἔχει· οὐ γὰρ μόνον ἃ σοὶ παθεῖν, ἀλλ' ἃ κἀμοὶ ποιεῖν δίκαιον σκοπεῖν βούλομαι.

π´) Τῷ Σαπωνοπούλῳ

Ἐπαινῶ καὶ σὲ τῆς ἐπιστολῆς καὶ τὸν εἰρηκότα περὶ αὐτῆς· ἐκεῖνον μὲν ὅτι εὐκτῶς εἰρήκει ἐμοὶ καὶ ὡς οὐκ ἂν ἄλλως ἤβου-

[1]) τῷ Θεογνώστῳ κυρῷ Ἰωάννῃ τῷ ἰητρῷ Α.
[2]) ἰοῦσαι Α.
[3]) μηδαμῶς Α.
[4]) μήτ' αὐτούς σε Α.

λόμην ἀκούειν, σὲ δ' ὅτι οἵαν καὶ περιλαλεῖσθαι ἐξήνεγκας αὐτήν. Ἀλλὰ τί; δώσεις καὶ δι' ἡμῶν αὐτῶν ἀκοῦσαι αὐτῆς, ἢ φήσεις τοῖς ῥηθεῖσιν ἀρκεῖσθαι καὶ μὴ ζητεῖν περαιτέρω τῆς διὰ πολλοῦ τοῦ μέσου φήμης προβαίνειν; δώσεις εὖ οἶδα· θάτερον δὲ ὡς αἰσχύνην ἅμα καὶ λύπην φέρον εἰς ἐμέ, οὐκ ἄν ποτε φάναι θελήσῃς. οὐ γὰρ ἀνέξῃ τοσοῦτον ἐμὲ παριδεῖν, ὥστε πρὸς τοὺς πυνθανομένους περὶ τῶν σῶν—εἰσὶ γάρ, εἰσὶ πολλοὶ τοῦτο σπουδάζοντες — τὸ τοῦ Ὁμήρου μόνον λέγειν ἔχειν, κλέος οἶον ἀκούειν, μηδὲν δὲ εἰδέναι, καὶ μόνον Ἀργείων καταλελεῖφθαι ἀγέραστον. Καὶ ταῦτα τοσοῦτον φάσκοντα ἀγαπᾶν, μᾶλλον δὲ ἀγαπῶντα πολὺ πλέον ἢ φάσκοντα. Ἀλλ' ἐπειδὴ δώσεις, μᾶλλον δὲ δίδως ἤδη — τὸ γὰρ σὸν τόδε σὺν ἠρεμίᾳ μειδίαμα τέλος ἐμοὶ καθυποφαίνει τοῦ πράγματος — ἐγώ σοι χάριν οὐ μόνον τοῦ δοῦναι, ἀλλὰ καὶ τοῦ ταχέως καὶ σὺν ἐλευθερίᾳ δοῦναι ὁμολογῶ.

πα') Τῷ Ξιφιλίνῳ[1]

Τὸ μὲν βιβλίον ἰδού σοι εἰς χεῖρας καὶ χρῶ ὁπόσον καὶ ἡμεῖς τῷ σῷ ἐχρησάμεθα· εἰ δὲ βούλει καὶ ἐπὶ πλέον χρῶ· ἐσμὲν γὰρ πρόθυμοι οὐ πρὸς ἀπόδοσιν μόνον τοῦ χρέους, ἀλλ' ἤδη καὶ τοῦ τόκου, ἂν ἄρα τις λαμβάνειν ἐθέλῃ· οὓς δὲ παραληροῦντας ἔμαθον καὶ κατὰ τῶν ὀχυρωμάτων τῆς ἡμετέρας ἐπιχειροῦντας φιλίας, τοὺς τοιούτους ὁπόσοι καὶ οἵτινες χαίρειν ἔα· οὐ γὰρ ἐξ εὐνοίας αὐτοῖς ὁ λόγος, ὃν ἡμῖν παρεμβάλλουσιν, ἀλλ' ἐκ βασκανίας καὶ κακουργίας, ὥστ' αὐτούς, ἵνα καὶ πάλιν τὸν αὐτὸν ἐρῶ λόγον, χαίρειν ἔα· τὸν γὰρ καὶ ὁπωσοῦν προσιέμενον τοὺς τοιούτους οὐ μικρός τις καταλήψεται κίνδυνος, ἀλλὰ τοῖς μεγίστοις ἀνάγκη κινδυνεύειν αὐτίκα αὐτόν· ἐπειδή περ οὐ μόνον τὴν πρὸς τοὺς ἔξω φιλίαν ἀτιμάσαι δεήσει, ἀλλά που καὶ γένους οἰκειότητα παριδεῖν καὶ ἀδελφῶν ἀρνήσασθαι γνησιότητα, καὶ ἅπαν ἀθετῆσαι τὸ ἐπιτήδειον· ἃ δὴ πάντα συνεωρακυῖαν καὶ τὴν μεγάλην σου σύνεσιν, ὡς ἔσχατα τῶν κακῶν ὄντα, χρεὼν ἀποτροπιάζεσθαι πολλῇ τῇ σπουδῇ καὶ πρό γε τούτων τοὺς πονηροὺς ἐκείνους τοὺς τῶν

[1]) Τῷ Σκουταριώτῃ Β.

τοιούτων πατέρας, ὡς ἂν εἰρηνικῶς μὲν ἔχοις καὶ πρὸς τοὺς ἄλλους καὶ ἡδὺς αὐτοῖς ὑπάρχοις καὶ ἀγαπώμενος ἐκ τοῦ γνησίως ἑκάστῳ προσφέρεσθαι· εἰρηνεύοις δὲ καὶ ἐν σεαυτῷ τῷ μήτ' ἄλλους ὑποπτεύειν, μήτ' αὐτὸν ἐν ὑποψίᾳ ὑπάρχειν τινί.

πβ') Τῷ Σταυρακίῳ[1]

Ὃν σὺ περὶ ἡμᾶς πόθον σαυτῷ μαρτυρεῖς, κἀμέ σοι συμμαρτυροῦντα τοῦτον ἐπίστασο, καὶ οὐκ ἔστιν ὡς ἀποκρύψομαι τοῦ μὴ πρὸς πάντας τοῦτον ἐκφαίνειν. Εἰ δὲ καὶ ἡμεῖς τοῖς ἴσοις μέτροις ἀνταγαπῶμεν, Θεῷ τε καταλείπω εἰδέναι καὶ σοί, μυρία ἐν μυρίοις τῆς ἡμετέρας ἀγάπης λαβόντι τεκμήρια· τὸ δὲ μὴ δύνασθαι ἀλλήλοις συνεῖναι καὶ τὸν τοσοῦτον ἡμῶν πόθον ἡμῖν μὲν συναύξειν, τοῖς ἔξωθεν δὲ δημοσιεύειν, ὀδυνηρὸν μὲν ἐμοὶ πρᾶγμα καὶ παντὸς ἄλλου βαρύτερον, ἀλλὰ δυστύχημα καὶ τύχης ἔργον, οὐχ ἡμέτερον· ὥστε καὶ οὐκ ἀφίσταμαι ὑπὲρ τοῦδε μέμφεσθαι καὶ ἐγκαλεῖν τῇ δαίμονι τοσαύτην ἡμῶν ἐργασαμένῃ διάστασιν· πλὴν βουλομένων ἡμῶν, ἔσται τις ἴσως οὐ φαύλη τῆς ὀδύνης ταύτης παραμυθία· ἔσται δὲ πῶς; εἰ σὺ μὲν τοῖς ἐς Βυζάντιον ἐκ Θεσσαλονίκης βαδίζουσι γράμματα ἐγχειρίζειν οὐκ ἀποκνήσεις, ἐγὼ δ' αὖ ἐγχειρίζω τοῖς ἀπὸ Βυζαντίου ἐπιδημοῦσιν ὑμῖν. Τὸ δὲ σκιαδοφεΐδιον ἱστουργεῖσθαι φής, καὶ ὁ λόγος ἐμοὶ πιστός· ὅμως μέχρι τίνος πιστὸς προβήσεται,[2] διετίαν ὅλην ἱστουργούμενον; Εἰ γὰρ Κύκλωπος, τί λέγω Κύκλωπος, εἰ γὰρ ὄρους εἴχομεν κεφαλήν, καὶ ὑπερπεριττεῦον ἂν ἐφάνη τὸ διὰ τοσούτου γινόμενον· νυνὶ δὲ μικρῶν τε ὄντων αὐτῶν, καὶ μικρῷ πίλῳ σκεπομένων τὴν κεφαλήν, τί τοσοῦτον αἱρῇ ὑπὲρ τοῦ μηδεμίαν ἡμῖν παρέξοντος χρείαν ἀναδέχεσθαι κάματον; Ἐγὼ μὲν οὖν περιττὸν εἶναι τὸν πόνον ἡγοῦμαι· εἰ δὲ λέγεις ὅτι κἀνταῦθα ἀνάλυσις γίνεται καὶ μνηστῆρες διαγελῶνται, καὶ ἡ μήτηρ Τηλεμάχου διὰ τοῦδε τοῦ δόλου τὴν τῶν ἐξ Ἰθάκης νεωτέρων διαδιδράσκει ἐπήρειαν, στέργω τῇ ἐπινοίᾳ καὶ τὸ γινόμενον ἐπαινῶ.

[1]) τῷ χαρτοφύλακι Θεσσαλονίκης τῷ Σταυρακίῳ A.
[2]) μέχρι τίνος προβήσεται A.

πγ') Τῷ Θεογνώστῳ ἰητρῷ[1]

Ἐντιμότατε δέσποτα· οὐκ οἶμαί σε τὸν ἐμὸν ἀγνοεῖν τρόπον, ἀλλ' εἰδέναι καλῶς ὡς εἰς δύο ταῦτα μερίζεται, ἀγάπην τε τῶν ποιουμένων μελέτην τοὺς λόγους, ὡς τὸ κεφάλαιον τῶν ἀνθρωπίνων μεταδιωκόντων καλῶν, καὶ οἶκτον τῶν πασχόντων κακῶς· ὅθεν προσήκει τὴν σεμνότητά σου συλλογιζομένην[2] αὐτίκα συνάγειν[3], ὅτι καὶ τὸν παῖδα Ἀγάλλωνος ἀγαπῶ[4] τε ἅμα καὶ ἐλεῶ· μελέτημα γὰρ αὐτῷ οὐδὲν ἕτερον ὅτι μὴ λόγοι, καὶ τούτους ἐπιτηδεύει οὐκ ἐν πατρῴᾳ διάγων ἑστίᾳ, καὶ παρὰ γονεῦσι καθήμενος, οὐδὲ τροφῆς μεταλαγχάνων ἀταλαιπώρου, ἵν' αὐτῷ ὑπ' οὐδενὸς ἐγκόπτοιτο ἡ σπουδή, ἀλλὰ πόρρω καὶ γένους καὶ πατρίδος ἀναστρεφόμενος, καὶ πάντων ἐνδεῶς ἁπτόμενος, ὅσα ποτὲ τὴν ἀνθρωπίνην συνέχει ζωήν. Πρόσεστι δὲ τοῖς εἰρημένοις καὶ τρίτον, ὃ με καὶ αὐτὸ βιάζει λόγον τοῦδε ποιεῖσθαι. Ἀγάλλωνός ἐστι παῖς· ὁ δ' ἀμφότερα τυγχάνει ὤν, ἀνὴρ ἀγαθός, καὶ φίλος ἐμός, καὶ ἀμφοτέρων ἕνεκεν ἐπιμελητέον εἶναί φημι Ἀγάλλωνος τοῦ μικροῦ· ὑπέρ τε γὰρ τῆς πατρικῆς ἀρετῆς δίκαιός ἐστι παρ' ἡμῶν χρηστοῦ τινος ἀπολαύειν, εἰδότων οἵου πατρός ἐστι καὶ τὸ φίλου παῖδα πατρὸς εἰς δύναμιν εὖ ποιεῖν φιλικώτατος πάντων τρόπων καὶ δικαιότατος. Οὐκοῦν τόν τε δικαίου λόγον εὖ καὶ καλῶς ἀναπλήσομεν ἐπιμελούμενοι οὗπερ ἐπιμελεῖσθαί φαμεν, καὶ τῷ φίλῳ ἐκείνῳ μέγα δόξομεν τοῦ ἀντιφιλεῖν παρασχέσθαι τεκμήριον· ὁ δὲ ἀγαπήσει ὁρῶν ἡμᾶς εἰς τὸν ἐξ ἑαυτοῦ ποιοῦντας τὴν χάριν· καὶ μᾶλλον ἀγαπήσει, εἴπερ εἰς αὐτὸν ἐκεῖνον ἐγίγνετο[5]· ὅτι καὶ τὸ πρᾶγμα τοῦτον συμβαῖνον τὸν τρόπον ἀνόθευτον εἶναι δοκεῖ, καὶ κολακείας ἐλεύθερον. Καὶ ἃ μὲν ἐμὲ πείθει τοῦ εἰρημένου ποιεῖσθαι λόγον, ταῦτά ἐστι, καὶ ποιοῦμαι· καὶ σὺ δὲ βουλόμενος εὖ ποιεῖν αὐτόν, ἔχεις μὲν ἀφορμὰς τὰ προειρημένα· καὶ γὰρ βούλημά σοι κατὰ τὸ δυνατὸν τοὺς φιλολόγους τῶν νέων εὐεργετεῖν, καὶ δῆλον ἐξ ὧν κά-

[1]) τῷ Θεογνώστῳ κυρῷ Ἰωάννῃ τῷ ἰητρῷ A.

[2]) λογιζομένην A.

[3]) συνάγει καὶ τὸν παῖδα A.

[4]) ἀγαπῶν A.

[5]) ἐγίνετο A.

θησαι πάσας τὰς ἡμέρας σαυτὸν ἐκείνοις παρέχων διδάσκαλον, τρόπου τε αὖ φιλοικτίρμονος εἶ, καὶ τὸν πρεσβύτην Ἀγάλλωνα φίλον καλεῖς· ἔχεις δὲ παρὰ ταῦτα καὶ ἕτερον μεῖζον πολλῷ τῶν εἰρημένων εἰς τὸ πείθειν καὶ ἰσχυρότερον· τὸ δέ ἐστιν, ὅτι ἐγὼ κήδεσθαι δοκῶ τοῦ μικροῦ, καὶ τοὺς φίλους ὡς τοῦτο παρακαλῶ. ὡς τοίνυν τοσούτων ἕνεκεν καὶ τοιούτων, καὶ αὐτὸς ἀνεχόμενος τοῦ νεανίου φροντίζειν, ἥκοντά σοι δέχου· καὶ δεξάμενος παίδευε ἀφθόνως αὐτῷ τοὺς βελτιώσοντας αὐτὸν λόγους παραδιδούς· τὸν δ' ὑπὲρ τούτου μισθὸν ὅτι σοι διπλοῦς κείσεται, οὐδ' αὐτὸς ἀμφιβάλλεις· οἶδας γὰρ ὡς ἀμείβεται Θεός, ἄν τις ἄνθρωπος ὢν εὖ ἐργάσηται ἄνθρωπον· οἶδας καὶ Ἀγάλλωνα, εἰ καὶ μείων σοι περὶ τούτου ὁ λόγος, πλὴν οἶδας τὸν ἄνδρα, ὡς οὐκ ἀνέξεται δωρεὰν αὐτοῦ[1] τὸν παῖδα διδάσκεσθαι· εἰ δ' ἐκεῖνον ἀγνοεῖς, ὅπερ οὐκ οἶμαι, ἐμὲ τέως οἶδας· καί μοι λέγοντι, ὡς εἰ μὴ Ἀγάλλων ὑπὲρ τοῦ υἱοῦ κατάθηται τὸν μισθόν, ἀλλ' οὖν ἐγὼ καταθήσομαι, ἀπιστήσεις οὐδέποτε.

πδ') Θεοδοσίῳ μοναχῷ τῷ Κυζίκου[2]

Παχὺς ἡμῖν ὁ πεμφθεὶς οἶνος, ἡδὺς καὶ μέλας· ἀλλὰ τοῦ καλὸν[3] εἶναι πολὺ ἀφιστάμενος, τοσοῦτον δὴ καὶ τοῦ δοκεῖν ἐπαινετὸς εἶναι ἀφίσταται· φασὶ γὰρ κατὰ πάντα τρόπον οἵ γε εἰδότες προκεκρίσθαι τοῦ μέλανος τὸν λευκόν, ἢ τὸν ὡς πλεῖστον μετέχοντα τοῦ λευκοῦ τὸν κιρρόν, πρὸ δὲ τοῦ παχέος εἶναι τὸν λεπτόν, καὶ πρὸ τοῦ ἡδέος τὸν στύφοντα· τὸν γὰρ τοιοῦτον οὐ μόνον εἰς αἷμα καλὸν μεταβάλλειν, καὶ τὸν ἐγκέφαλον ὠφελεῖν μάλα εὐῶδες καὶ θερμὸν θυμιῶντα, ἀλλὰ καὶ τῷ στομάχῳ συγκατεργάζεσθαι τὰ σιτία μεγάλην αὐτῷ κατ' αὐτῶν παρέχοντα τὴν ἰσχύν· οὐ μὴν ἀλλ' ἔγωγε εἴπερ ἄρτι πρώτως σκοπὸν ἐποιούμην μεταβὰς ἐξ ὑδροποσίας οἰνοποσίαν ἀσκῆσαι, τὸν στύφοντα καὶ λεπτὸν καὶ ἄλλως κεχρωματισμένον ἀφείς, ἠσπασάμην ἂν τὸν σόν, ἢ τὸν κατὰ τὸν σόν·

[1] ἑαυτοῦ A.
[2] τῷ μοναχῷ Θεοδοσίῳ A.
[3] καλῶς A.

ἔμελλε γάρ μοι γλυκὺς ὢν τέως, ὑδροποτεῖν ἀνεχομένῳ καὶ νηπιάζοντι τὴν οἰνοποσίαν οἷον δέλεαρ καὶ παγὶς πρὸς ταύτην φανῆναι, καὶ κατὰ μικρὸν εἰς τὸν ὠφελοῦντα, ἤτοι τὸν στύφοντα ἀγαγεῖν· ἐπεὶ δὲ πάντα ἐκεῖνα ὑπερβεβηκώς εἰμι καὶ ἰατρικὸς ἐκ τῆς πείρας — ἔστι γὰρ ἔστι καὶ αὕτη διδάσκαλος—οὐκ ἀπαρνήσομαι τὸ μὴ διαφορὰς οἴνων εἰδέναι καὶ φιλοκρινεῖν ἐθέλειν, τίς μὲν καὶ ὁπόθεν ἥκων καλός, τίς δὲ ἀνθοσμίας, τίς δὲ ὠφέλιμος, καὶ τοῦδε μηδένα ἕτερον ἀνθαιρεῖσθαι μηδ' αὐτὸν τὸν γλυκύν, ὅτι μηδὲ φίλος ὁ τοιοῦτος ἐπιστημόνων ἀνδρῶν, καὶ τὸ χρήσιμον εἰδότων μεταδιώκειν, ἀλλὰ παῖδας μόνον εὐφραίνει, οἷς ἡ πᾶσα σπουδὴ πάντων ἀμελοῦσι τῶν ἄλλων ἡδῦναι δυνηθῆναι τὴν γεῦσιν. Πλὴν σοῦ γε χάριν, τόν δε τὸν σὸν μέλανα καὶ παχὺν καὶ γεώδη, τὸν ἡδὺν καὶ ἀσθενῆ καὶ καλὸν τοῖς ἀνεπιστήμοσι, τὸν ψυχρὸν καὶ βαρὺν καὶ τοῖς σπλάγχνοις πολέμιον, ἐν τοῖς πρώτοις συγκαταλέγω τῶν οἴνων, οὐ τὴν φύσιν ἐκθειάσας αὐτοῦ, τὴν δὲ σαυτοῦ περὶ ἡμᾶς προθυμίαν ἀγάμενος· πίομαι δὲ αὐτὸν οὐδαμῶς, ἀλλ' ἔστ' ἂν οἶνος μένῃ οὕτως ἔχων διαμενεῖ· δύο ταυτὶ τοῖς ἄλλοις τῶν φίλων ἐπιδεικνύμενος, τό θ' ὑπερβάλλον τῆς ἑαυτοῦ γλυκύτητος, καὶ τὴν πρὸς ἡμᾶς τοῦ πεπομφότος διάθεσιν.

πε') Τῷ αὐτῷ[1]

Ὅτι μὲν ἐχρῆν αὐτίκα μετὰ τοῦ ἀδελφοῦ τὸ ἀναγεγραμμένον ἀποστεῖλαί σοι γράμμα, καὶ μὴ οὕτως ὑπερήμερον, ἴσον δ' εἰπεῖν καὶ ἄχαρι ἐᾶσαι γενέσθαι ὁμολογῶ καὶ αὐτός· ἀλλὰ τότε δείλη τε ἦν[2] ὀψία, καὶ νῆστις ἔτι ἐγώ· καίγε τὸν καιρὸν ἐκεῖνον τροφῆς καὶ μόνης οἰηθεὶς εἶναι καιρόν, πάντα παριδών, ὅπως ἑστιαθήσομαι ἔβλεπον· ἐκ δὴ τούτου καὶ ὁ ἀδελφὸς μοναχὸς[3] ὑποστρέφει μόλις γοῦν καὶ ψιλῆς προσρήσεως ἀξιωθείς· νυνὶ δὲ ἥκει σοι τὸ γράμμα. Εἰ δὲ λέγεις διατί νῦν καὶ μὴ τὴν χθὲς ἢ τὴν πρότριτα, τὰς ἐγγυτέρω τῆς πρώτης ἡμέρας, ἐγώ σοι

[1]) τῷ Κυζίκου Θεοδοσίῳ Β.
[2]) δείλη ἦν Α.
[3]) ὁ μοναχὸς Α.

καὶ τούτου τὴν αἰτίαν ἐρῶ· δύο ἡμῖν ἤστην παιδίσκω θεράποντε, ὧν ἅτερος ἐξ οἱασοῦν αἰτίας ἑαυτὸν ἡμῶν ἀποστήσας, θάτερον λέλοιπε παρ' ἡμῖν· ὃν δὲ λέλοιπεν ὁρᾷς καὶ αὐτὸς παρεστῶτά σοι. Τούτῳ δὴ πρὸς τῷ ἔχειν τὰ ἑαυτοῦ πράττειν καὶ τὰ τοῦ ἐκλελοιπότος ἐπέπεσεν ἔργα, ὡς συμβαίνειν ἐξ ἀνάγκης αὐτῷ διπλοῦν ἢ πρότερον ὑφίστασθαι κάματον· ἐπειδὴ καὶ βλέπειν ἡμᾶς ἐξ ἡμισείας θεραπευομένους καὶ διὰ τοῦτο ταλαιπωροῦντας μὴ ἀνεχόμενος πάντα ἐξανύττειν ὅσα τῆς ἡμετέρας ὑπηρεσίας, εἰς ὧν προθυμεῖται. Τοίνυν καὶ βαδίζουσιν ἡμῖν εἰς τὰ ἀνάκτορα ἕπεται, οἴκοι μένουσι σύνεστι, τὰ ἔνδον εὖ διατίθεται, εἰς ἀγορὰν ἐμβάλλει, ἀποστέλλεται ὅπου δήποτε, ταῖς ἄλλαις ἡμῶν χρείαις ἐφίσταται· ὅθεν καὶ τὰς ἐν μέσῳ εἴς τινα τῶν ἐν χερσὶν ἀναγκαιότερα μεθελκόμενος[1] τὴν σήμερον ἐκεῖθεν ἀποσπασθεὶς δρομαῖος ἐπιστῆναί σοι πέμπεται· ἅμα τε γράμμα[2] περὶ τοῦ οἴνου κομίζων, καὶ ἀπολογίαν γράμματος[3] δι' ἧς καὶ ἐλπίζομέν σε ἢ παντάπασι τῆς ὑπερημερίας συγγινώσκοντα ἕξειν — εἰ τέως εἰς ἔγκλημά σοι τὴν ἀρχὴν λελόγισται, τὸ μέχρι δεῦρο παρενεχθῆναι τὴν ἐπιστολὴν — ἢ μὴ σφόδρα καταγινώσκοντα.

πστ') Τῷ Σαπωνοπούλῳ

Εἰ δεῖ τι ἀκοῦσαι ἡμᾶς παρὰ σοῦ διὰ τοῦ ἀγροίκου τοῦδε καὶ ἀφελοῦς ἀκουσόμεθα· διὸ ἀνάγκη δίς που καὶ τρὶς τοὺς αὐτοὺς λόγους ὡς εὐσυνόπτους μάλιστα καὶ σαφεῖς παρακαταθέσθαι αὐτῷ· ἀλλὰ καὶ οὕτω μόλις ἂν συμβαλοῦμεν ὅ, τι ποτὲ εἴρηται ἢ ὡς ἐκ σκιᾶς τινος, ὅτι καὶ σκιάς τινας ὁ ἡμέτερος οὗτος ἥξει κομίζων ἡμῖν καὶ πλέον οὐδέν· ἴσασιν ὅσοι τὴν αὐτοῦ φύσιν ἴσασιν, ὡς μὲν ἀμβλεῖα, ὡς δὲ νωθρά, ὡς παντὸς μᾶλλον τῶν ἔνδοθεν κινουμένων ἀκίνητος.

πζ') Τῷ Νεοκαισαρείτῃ

Τὸν μὲν καιρὸν ὅτι χειμέριος ὁρᾷς, ἡμᾶς δ' ὅτι τῶν ἄλλων ὡρῶν ταύτην πολεμίαν ἡγούμεθα γινώσκεις. Οἶσθ' οὖν ὅ, τι

[1]) καθελκόμενος A.
[2]) καὶ γράμμα περί τινος ἑτέρου κομίζων A.
[3]) τοῦ γράμματος A.

δράσεις ἐπειδὴ μάλιστα καὶ χλαινηφόρων ἀνδρῶν καὶ χλαινεργατῶν τινων χωρία πατεῖς, χλαῖνάν μοι τάχιστα ζήτησον τοὺς χρυσίνους τούςδε λαβὼν ἐξ ἐρίου καὶ πέμψον· ζητήσοις δὲ δίπλακα μέν, οὐ μὴν δὲ καὶ μαρμαρίνην· οὐ γάρ εἰμι τῆς ὁμηρικῆς ἐκείνης ἐπαινέτης ἐγώ, καὶ τὰ φαιδρότερα τῶν χρωμάτων ὡς ἑτέροις μᾶλλον ἡμῶν προσήκοντα παραιτοῦμαι· μᾶλλον δέ τινα πέμψοις σκοτεινὴν καὶ βαθεῖαν μᾶλλον, εἰ δὲ βούλει, καὶ πηγάδα μᾶλλον, καὶ οἵαν ὁμηρικός τις ἀνὴρ φήσειεν ἂν εὐθὺς ἰδών, οἵη ἂν τελέθοι ἐπὶ σκέπας ἀνέμοιο καὶ νυκτερινῶν πάγων ἀλεωρή.

πη') Τῷ Μελιτινιώτῃ

Καινῶν τινων ὅτι γεγόνασιν ἀκουσθέντων μοι, ἐσκόπουν πυθέσθαι ἐπιστὰς ἐπὶ σέ[1], ἀλλ' ὁ δοθεὶς ἡμῖν εἰς παιδαγωγίαν σκόλοψ καὶ κατὰ τοῦ προσώπου ῥαπίζων συχνὰ ἐκώλυσεν ἐπιστῆναι· ὅτι τοσοῦτον καὶ μετὰ τοιαύτης σφοδρότητος τὸ ἀπαραίτητον τοῦτο κατῄει κακόν, ὡς οὐδέποτε, ναὶ μὰ τὴν ἱεράν σου εὐχήν, ὅτι οὕτως ἐγένετο μνημονεύω. Καὶ ἵνα δὲ συμβαλεῖν ἔχῃς, ὀδύνη τις καὶ αὐτὴ δριμυτάτη, τὸν ἄνω μοι πρῶτον τῆς κεφαλῆς περιέτρεχε τόπον ἢ καὶ διέτρεχεν· εἰκὸς γὰρ ἀλγοῦντα μὴ ἔχειν ἐξακριβώσασθαι· καὶ ἦν ἐν τῷ προσώπῳ εἰ ὤθει τὸ ῥεῦμα καταλαμβάνειν χώραν, καὶ αὐτὴ ἐξεπυροῦτό τε πρὸ τῆς καταρροῆς καὶ ἐπάτασσε καὶ δήλη ἦν προαισθομένη τοῦ μέλλοντος· ὁ δὲ γείτων αὐτῆς ὀφθαλμὸς οὐδ' αὐτὸς εἶχεν ἠρέμα, ἀλλ' ἐπηρεάζετο συνεχέσι παλμοῖς καὶ ἐδακρυρρόει καὶ οἷον ἀνέθρωσκεν ἐκ τῆς ἕδρας ὑπὸ τῆς δριμύτητος ἐνοχλούμενος. Καὶ ἵνα μὴ διατρίβω, τὸ μὲν ἔπασχέ μου τῆς κεφαλῆς, τὸ δὲ συνέπασχε, τὸ δ' οὐκ ἦν ὅπως ἀναίσθητον ἔμενε, τοῦ κακοῦ πολιορκοῦντος ἤδη τὰ γειτονοῦντα καὶ συγγενῆ. Καὶ ταῦτα μὲν ἦν πρὶν ἢ κατιέναι τὸ ῥεῦμα· ἐπεὶ δὲ κατῄει, ὡς οὐκ ὤφελε, τὰ μὲν ἄλλα ἐῶ λέγειν· ἀλλ' ἐφυσήθην τὸ πρόσωπον, καὶ ἐγγωνιάζω, καὶ τὴν ἐν ὑπαίθρῳ βραχεῖαν[2] δια-

[1]) παρὰ σὲ A.
[2]) βραχεῖαν γοῦν A.

τριβὴν ἀπαναίνομαι· τὸ μέν, ὅτι καὶ τὴν μεταβολὴν τοῦ ἀέρος — βλέπεις δὲ πάντως ὁποία — εἰς χεῖρόν τί μοι ἀπαντήσεσθαι ὑποπτεύω, ἣν ἐφίκηταί μου τῆς κεφαλῆς, τὸ δ' ὅπως καὶ τῶν ὁρώντων τὰς ὄψεις ἐκκλίνω, καὶ μηδένα τῶν ἔξωθεν θεατὴν τοῦ οἰδήματος, οὐδὲν δ' οἷον καὶ τοῦ αἴσχους λέγειν ἐφέλκωμαι· ἀπαλλαγήσεσθαι δὲ οὐκ εἰς τετάρτην ἡμέραν δοκῶ, οὔμενουν οὐδ' εἰς πέμπτην· ἀγαπητὸν δὲ καὶ ἐκ τῆς ἕκτης ἐλθούσης[1] μὴ εὑρέθημεν ἐν ᾧ[2] πέρ ἐσμεν· οὕτω τὰ πάντα τοῖς πρότερον ἄνισα συνέπεσέ μοι τὰ νῦν. Κατὰ τόδε γοῦν κωλυθέντες, ὃν ὁρᾷς τρόπον, πυθέσθαι σου ἔγνωμεν. Εἰ τοίνυν καὶ αὐτῷ σοι δοκοῦν ἐστιν, ἐκ τοῦ ἴσου γνώριζε τρόπου, εἴ τι κατὰ τὴν πρώτην τῆς δε τῆς ἑβδομάδος ἡμέραν συμβὰν ἡμᾶς ἀγνοοῦντας ἐπίστασαι· εἰ δὲ μὴ τῷ παρόντι φῂς ἁρμόζειν καὶ τρόπῳ καὶ καιρῷ, ἀλλὰ συνελθόντων ἡμῶν, τοῦτο τὸ νόημα ἐπαινῶ καὶ αὐτὸς καὶ ἄγομαι καθότι κελεύεις, ὡς μὴ ἐξὸν ἀρχιδιακόνῳ ὄντι σοι βίαν κἂν τὴν ἐλαχίστην προσαγαγεῖν ἀναγνώστην ὄντα ἐμὲ καὶ παρὰ τοῦ συντρόφου λόγου πεπαιδευμένον τὸ δίκαιον.

πθ') Τῷ Κορέσῃ μοναχῷ Ἀγάθωνι καὶ τῷ Νεοκαισαρείτῃ

Περὶ οὗ τὴν σήμερον εἰρήκατε βιβλίου εἶναι παρ' ὑμῖν, ἔστιν ἐκεῖνο ἤδη παρ' ἐμοί· ἀπέστειλε δὲ οὐκ οἶδά τις ὑμῶν· πλὴν ὅστις ἄρα καὶ ἦν, εὖ ἐκείνῳ γένοιτο παλαιὰν ἐμοὶ ἐπιθυμίαν πληρῶσαι θελήσαντι, ἣν εἶχον ἐπὶ τῷ συγγενέσθαι τοῖς λόγοις τοῦ ῥήτορος· ἀλλ' ἐπεί, ἥ τε βίβλος ἐνταῦθα καὶ ἡμεῖς ἔχομεν περὶ τοὺς λόγους, αἰδεσθέντες τὸ λόγιον καὶ ὃν ἐγὼ περὶ τὰ προκείμενα ἐνδείκνυμαι ἀγῶνα μὴ αὐθημερὸν ποιεῖσθε τὴν ζήτησιν, συγχωρήσαντες δὲ ἐπὶ ῥηταῖς ἡμερῶν τὰ μάλιστα ἡμῖν δοκοῦντα μετ' ἀδείας διελθεῖν, οὕτως αὖθις ἀπολαμβάνετε, ὡς ἂν καὶ ἡμῖν ἐκ τῆς ἡμετέρας ταυτησὶ χάριτος προσείη τις ὠφέλεια, καὶ ὑμῖν γε τοῖς ἀποστείλασιν ἡ πρέπουσα ἀνθομολόγησις, ὅτι ἂν ἄλλως ἢ τοῦτον τὸν τρόπον ποιήσητε ἐπειχθέντες τὴν ταχίστην

[1]) ἐλθούσης] ἐλλείπει ἐν A.
[2]) ἐν οἷς περ A.

τὸ βιβλίον ἀφαιρήσειν ἡμᾶς οὐκ ἔχω πῶς εἰπεῖν ὅτι οὐ μᾶλλον λυπήσετε διὰ τὴν παρὰ χρῆμα ἀφαίρεσιν, ἢ εὐφρᾶναι δόξετε ἐκ τοῦ μᾶλλον ἐκκαῦσαι πρὸς ἔρωτα. Ἐπειδήπερ καὶ τῷ κάμνοντι βρωτοῦ τινος ἢ ποτοῦ ἀπορίᾳ οὐχ οὕτω λυπηρὸς καὶ ἐν αἰτίᾳ ὁ μηδὲ τὴν ἀρχὴν ἔχων τοιούτου τινός, ὧν ἐκεῖνος χρῄζει μιμνήσκεσθαι πρὸς αὐτόν, ὡς ὁ προτεινόμενος μὲν καὶ ἐγχειρίζων, πρὶν δὲ ἢ καθαρῶς εἰς χεῖρας λαβεῖν αὖθις ἀποστερῶν· ὅτι καὶ τὸ εἰς πεῖραν ἧκον φησί τις σοφὸς ἀνιαρότερον εἰς ἀφαίρεσιν. Ταῦτά μοι πρὸς ὑμᾶς περὶ τοῦ βιβλίου· αὐτοὶ δὲ ὑμεῖς τὴν ἡμετέραν γνώμην παραγυμνώσαντες, κἀμὲ πρὸς ὑμᾶς μεθαρμόσατε· ἐν οἷς γὰρ οὐκ ἔστιν ἰσχύειν ἡμᾶς οὐδ' ἀντιτείνειν ἐμάθομεν.

η') Τῷ Μελιτινιώτῃ

Ὁ ἀρχιδιάκονος ὑγιαίνοις· τοῦτ' ἔστω μοι τῆς ἐπιστολῆς τὸ προοίμιον, ἵν' ἑνὶ γοῦν σε ἀγρεύσω τῷ τρόπῳ ἢ τῷ προοιμιάζεσθαι, ἐπειδή σε οὐ πάνυ τοι καταμανθάνω σπενδόμενον τοῖς ἀπροοιμιάστοις τῶν λόγων ἢ τῷ ἐξ ὧν χαίροις αὐτὸς φίλων ὀνομάτων προοιμιάζεσθαι· ὁ ἀρχιδιάκονος γοῦν εἴργασμαί τι; ὁποτέρως ἔχον εὖ ἢ καὶ ἑτέρως, ἄλλοι λεγόντων καὶ σύ γε πρὸ τῶν ἄλλων ἱκανώτατος ὢν ἑκάτερον διαγνῶναι· πλὴν εἴργασμαι· τί τοῦτο; οὐκ ᾠήθην δεῖν τὴν τῶν ἀσπασμῶν ἀτιμάσαι συνήθειαν, ἀρχαίαν τε οὖσαν καὶ ἱεράν· διὸ καὶ τὴν χθὲς τῆς ἡμέρας ἤδη πρὸς ἑσπέραν ἰούσης, ἵν' ἡσυχώτερά μοι ἀπαντήσῃ τὰ πράγματα ἀπῄειν ἐκεῖσε, ὅποι πορευτέον ἦν, πρὸς τὸν πατριάρχην· ἐπεὶ δ' ἀπῄειν καὶ εἰσῄειν οὐχ εὗρον ὡς ἤλπιζον πλήθους ἐρημίας, πολὺ μὲν οὖν τοὐναντίον· ἀριθμὸς γὰρ ἦν καὶ τῶν συνεδριαζόντων καὶ περιισταμένων ἐκείνων πάνυ πολύς· πλὴν τί ἔδει ποιῆσαι; κατηγξάμην ὡς εἶχε τὸ πρᾶγμα, καὶ τὸ ἔθος ἐπλήρωσα· καὶ τοῦθ' ὡς ἐγένετο, κελευσθεὶς καθεσθῆναι καὶ καθεσθεὶς ἠρωτώμην· ἠρώτα δέ τις τῶν ὁμολογουμένως ἐπιτηδείων ἡμῖν· ὁ δ' ἀρχιδιάκονος ποῦ; καὶ πῶς οὐ παραγένοιτο; μάλιστα δὲ τί ἂν τοῦθ' ὑμῖν βούλοιτο, θάτερον μὲν ὑμῶν ἐνταῦθα ὀφθῆναι, θάτερον δὲ μηδαμῶς; βουλομένης ἐμοὶ δοκεῖν τῆς ἐρω-

τήσεως δεῖξαι ὡς οὐκ ἔστιν οὐδ' αὐτοὺς τοὺς ἔξωθεν ἀγνοεῖν ὡς ἡνώμεθα καὶ παρ' ἀλλήλοις ἐσμέν· πρὸς ὅν, ἐμὲ μηδὲ τὸ βραχύτατον διασχόντα, ἐμὲ μὲν ἥκειν εἰπεῖν ἀπὸ τῆς οἰκίας τῆς ἐμαυτοῦ, ἐπειδὴ καὶ ἦγον σχολήν, ἐκεῖνον δὲ ἀπαραίτητον τὴν πρὸς τὰ ἀνάκτορα ποιούμενον ἄφιξιν ψαλλομένου τοῦ ἑσπερινοῦ, μὴ ἂν δυνηθῆναι καὶ ὧδε ἐλθεῖν· ἐπεὶ μηδ' οἷόν τέ ἐστιν ἀμφότερα τὸν αὐτὸν ἐκπληροῦν ἔχειν κατὰ τὸ ταὐτὸν τῆς ὥρας. Καὶ ταῦτα μὲν πρὸς τοὺς ἐρομένους ἐγώ, ἐπακρωμένου καὶ τοῦ πατριάρχου, τὸν λόγον διαμορφωσάμενος καθότι μάλιστα θεραπεῦσαι διενοούμην· σὺ δ' εἰ μὲν ἐμοὶ πείθῃ, τὴν αὔριον πρὶν εἴ τι ἕτερον πρᾶξαι ἐκεῖσε φοιτήσεις· εἰ δ' ἕτερον αὐτὸς πολὺ τούτου γινώσκεις σοφώτερον ἐκείνου προτιμητέον τὸ σόν, ῥιπτέσθω δὲ τὸ ἐμὸν καὶ οὐκ ἂν ἀλγήσω τῆς συμβουλῆς μοι διαπεσούσης· εὐφρανθήσομαι δὲ μόνον, εἰ οὕτω μάλιστα μέλλει συνοίσειν, ὅτι μηδὲ πάντα νικᾶν ἐθέλων τἀμὰ πρὸς τοὺς φίλους ἐκφέρω, ἀλλ' ὅπως ἐξετασθέντος τοῦ ἀκριβοῦς ἑκατέρωθεν τῶν λόγων μετὰ τοῦ μάλιστα συμφέροντος γίνωμαι.

ϟα') *Πρὸς τὸν Μουζάλωνα καὶ τοὺς ἄλλους ὁμιλητὰς*[1]

Ἄνδρες φίλοι, Ἑρμοῦ τρόφιμοι καὶ μουσῶν· εἰ μὲν ἦν κατὰ τὴν βούλησιν τὴν ἐμαυτοῦ προχωρεῖν καὶ τὸ πρᾶγμα, ἀδύνατον ἂν ἦν μὴ ἀφικέσθαι τὴν τήμερον παρ' ἡμᾶς, Τετράδος τε οὔσης ἡμέρας καὶ ὡρισμένης εἰς ἔργον ἡμῖν, κἀμοῦ τε αὐτοῦ σκοπουμένου, ὡς καὶ πάλαι τὰς ὡρισμένας τῆς ἑβδομάδος εἰώθειν, καὶ τὴν νῦν οὖσαν ποιεῖν· ἐπεὶ δ' οὐκ ἔστιν ὅπως ἀνθρωπίνῃ διανοίᾳ ἡ τῶν πραγμάτων ἔκβασις δουλεύοι ἀεί, ἀλλὰ καὶ μικρὰ περιπέτεια ἔσθ' ὅτε καὶ ἐφ' ὧν καὶ ἀνέκαθεν μεμελετημένων πραγμάτων ἐμπόδιον γίνεται, καὶ ἡμῖν δὲ ἄν[2] που μεταξὺ σκοπουμένοις τὴν πρὸς ὑμᾶς[3] θέσθαι

[1]) Τοῖς ἑαυτοῦ ὁμιληταῖς· τῷ τε Μουζάλωνι κῦρ Θεοδώρῳ λογοθέτῃ τῶν Γενικῶν, καὶ τοῖς λοιποῖς Α.

[2]) ἡμῖν ἄν που Α.

[3]) τὴν πρὸς ὑμᾶς ἢ συνόλως ἀγανακτεῖν Α.

πορείαν, ἕτερόν τι ἐπισυμβὰν ἐπέσχε τε καὶ οἴκοι μένειν ἠνάγκασεν, οὐ χρὴ βαρέως ἔχειν ὑμᾶς ἢ συνόλως ἀγανακτεῖν· μάλιστα δὲ συγγινώσκειν προσήκει καὶ τῆς ὀργῆς καθυφίεσθαι, ὡς οὐκ ἐκ προνοίας, τῷ δ' ἀκουσίῳ τῆς γνώμης προκεχωρηκότος τοῦ πράγματος· εἰ δὲ μὴ φίλον ὑμῖν αὐτίκα χρῆσθαι συγγνώμῃ, ὅτι λελύπησθε, καὶ χρὴ πρότερον, ἵνα καθ' ὑμᾶς εἴπω, κατὰ τοῦ λελυπηκότος ὀργίζεσθαι, εἶτα καὶ τοῦ χαλεπαίνειν λῆξαι, μὴ κατ' ἐμοῦ πρὸς Θεοῦ δυσωπῶ, τοῦ δὲ ρεύματος ὅπερ κατὰ τοῦ προσώπου μου ρεῖν εἰώθει συχνά, κατ' ἐκείνου τρέπετε τὴν ὀργήν· ἐπεὶ διὰ τὸ τοιούτῳ[1] αἰφνιδίως καὶ ὡς οὐκ ὤφελέ ποτε ἀπαντῆσαι[2], ἐγὼ μὲν ἐπεσχέθην καὶ τὴν πρὸς ὑμᾶς οὐκ ἤνυσα, ὑμεῖς δὲ λελύπησθε τῶν ἐλπίδων σφαλέντες.

ϟβ') Ῥήτορι τῷ Ὁλοβόλῳ

Κόρος τῶν πάντων καὶ αὐτοῦ γε τοῦ δοκοῦντος ἡδέος· εἰ γοῦν καὶ τούτου πόσῳ μᾶλλον ἀπεχθείας καὶ μίσους; ἔρρωσο.

ϟγ') Τῷ ἐπὶ τῶν δεήσεων

Πράττε ὡς ἂν ἐθέλῃς, ἀτὰρ ἐγὼ οὐκ ἐγκαλέσω—εἰ γάρ σοι φίλον οὕτως οὐδ' ἐμοὶ ἐχθρὸν—ἀλλ' ἡ πρόφασις τῶν συλλαβῶν· δεῖ με παρακάμνοντα βαδίσαι· δεῖ δὲ οὐκ ἄλλως ἢ ἐπιβεβηκότα τινὸς ἵππου πάντως ἢ ἡμιόνου· εἰ πέφρικας τὴν ἐντολὴν—δεσποτικὴ γὰρ—ἐπισκέπτεσθαι τοὺς ἀσθενοῦντας, εἰ μέλει σοι ταύτης πληρωτὰς φανῆναι ἡμᾶς, κέλευε ἵππον ἀχθῆναι καὶ ὑγίαινε.

ϟδ') Τῷ αὐτῷ

Χάριν οὐδεμίαν ἡ πρότριτά σου τοῦ ἵππου εἶχεν ἀποστολή· ἦν γὰρ κατόπιν τῆς χρείας φανεῖσα· ἅρπασον τὴν ἐπὶ τούτῳ γοῦν χάριν, ὡς τὴν μεγάλην ἅπασαν, ἣν ἄν ποτ' ἤλπισας πρὸς ἡμῶν ἕξειν ἀπολώλεκας.

[1]) τοιοῦτον A.
[2]) ἀπαντῆσαν A.

ϟε΄) Τῷ αὐτῷ

Ἐφάνη τὸ δεύτερον τοῦτο κατὰ καιρὸν πεμφθεὶς ὁ ἵππος, καὶ ἐχρησάμεθα καὶ χάρις τῷ πέμψαντι προσλελόγισται.

ϟστ΄) Ῥήτορι τῷ Ὁλοβόλῳ[1]

Ὦ τινι μὴ φιλοτιμίας μέλει, βλὰξ ἐκεῖνός φασιν· ᾧ δ' ἀληθῶς μέλει, τὴν εὔνοιαν εἰ μὴ τῶν πάντων τῶν δ' οὖν πλείστων ἢ τῶν ὅ,τι μάλιστα θηρᾶσθαι προσήκει, ἀντεπιδεικνυμένῳ[2] μοι καὶ αὐτῷ ὧν ἐρᾷ πρὸς τοὺς φίλους τὰ ἴσα· οὐ γὰρ ἔστι δυσκόλῳ γνώμῃ χρώμενον πρὸς τοὺς ἄλλους, εὐκόλου αὐτῶν[3] τῆς τῶν ἄλλων πειρᾶσθαι. Εἰ τοίνυν φιλοτιμίας ἀντιποιῇ, ἔχε περὶ τὰ λεχθέντα, καὶ ὧν σὺ χρῄζεις παρὰ τῶν ἄλλων λαμβάνειν, ἔχειν κἀκείνους ἀξίου τὰ αὐτὰ παρὰ σοῦ.

ϟζ΄) Τῷ Μελιτινιώτῃ

Εἰ μέν τι νόσου μεταξὺ καὶ ὑγείας ἔχεις εἰπεῖν ἐν ἐκείνῳ —ὅ,τι ποτέ ἐστιν καὶ ὀνομάζεται—μάνθανε ὄντας ἡμᾶς· εἰ δὲ μηδὲν ἀναμέσον, ὡς ἀξιοῦσιν, ἀλλ' ἔστι τὰ τοιαῦτα στέρησις ἢ ἀντίφασις ἐν τῷ αὐτῷ γένει —δεῖ γάρ με καὶ ταῖς φωναῖς αὐταῖς χρήσασθαι τῶν περὶ ταῦτα δεινῶν—νοσοῦντας καὶ μὴ πάνυ νοσοῦντας γίνωσκε· τὸ μὲν ὅτι οὐ καθαρῶς ὑγιαίνομεν, τὸ δὲ ὅτι τοῦ ἀντιθέτου οὐ πλέον ἢ ὅσον ἀδυνάτως ἔχειν τι ποιεῖν[4] αἰσθανόμεθα· αἴτιον δ' εἰ ζητεῖς—πάντως δὲ ζητεῖς— τῆς εἴτε ἀνωμαλίας ταύτης ἢ νόσου[5] χρὴ λέγειν, οὐχ ἓν εὑρίσκω, ἀλλὰ δύο τοὐλάχιστον· πρῶτον καὶ δεύτερον· εἰ δὲ βούλει προσεχές τε καὶ πόρρω· ὀφθαλμῶν μὲν γὰρ καχεξία συμβᾶσα[6], ὅθεν ἀκριβῶς οὐκ οἶδα, ὡς δ' οὖν φάσιν ἐξ αἵματος πλεονάσαντος, ἀναγκαίαν μοι δόξαι τὴν φλεβοτομίαν ἐποίησεν· ἡ δὲ

[1]) Ὁλοβώλῳ Β.
[2]) ἀντεπιδεικνυμένῳ καὶ αὐτῷ Α.
[3]) αὐτὸ Α.
[4]) ἔχειν ποιεῖν Β.
[5]) εἴτε νόσου Α.
[6]) ἐπισυμβᾶσα Α.

κεχρημένη διὰ τοὺς ὀφθαλμοὺς ὡς οὐκ ὤφελε, πρόξενός μοι πρὸς τὰ χείρω ἐγένετο. Ταῦτα μὲν οὖν αἴτια δοκοῦντα[1] τῆς καθ' ἡμᾶς διαθέσεως· εἰ δὲ δεῖ κατὰ τοὺς ἐπὶ τοῦ αὐτοῦ συχνὰ βάλλοντας, ἵν' ἑνὶ γοῦν τῶν βελῶν μὴ διαμάρτωσι τοῦ σκοποῦ, καὶ τρίτον τι αἴτιον θεῖναι τοῦ πράγματος, ψυχῆς καχεξία τὴν νόσον ἐπάγει τοῦ σώματος καὶ ἐπὶ τὴν ὑγείαν τοῦ χείρονος ὕλην τοῦ κακῶς ἔχειν τὸ κρεῖττον ποιούμεθα· δεῖ γίνεσθαι τὴν καλὴν ἀντιστροφήν, ἵν' εἰ μὴ ἑκάτερον, κατὰ τὸ τοῦ συνδήσαντος πρόσταγμα, τὸ γοῦν κρεῖττον κατὰ τὸν τοῦ δικαίου[2] λόγον ὑγιῶς ἔχον φυλάττοιτο. Νοσοῦμεν τοίνυν ὡς ἄρα καὶ νοσοῦμεν, Θεοῦ πάντως τὰ ἡμέτερα πρὸς τὸ λυσιτελέστερον διεξάγοντος, ἵν' ἓν πάντως τῶν δύο ποιήσῃ· ἢ μετὰ τῶν κρειττόνων ἀξιώσει στῆναι ἱκανῶς ἐν τῷδε παιδευθέντας τῷ βίῳ, ἢ φιλανθρωπότερον κολάσει[3] μὴ πάντας τρόπους πονηρίας ἐνταῦθα διεξελθόντας, ἀλλ' ἔστιν οὓς τῷ ἐκείνου νεύματι καὶ κωλυθέντας[4] ποιῆσαι. Καὶ τὰ μὲν ἡμέτερα οὕτως· σὺ δὲ εἰ προσῄεις[5] τῷ μεγάλῳ, εἰ προσιὼν ἔγνως περὶ ὧν ἡμῖν πολλὴν εἰκὸς εἶναι φροντίδα, δήλωσον, ὅντινα λυσιτελεῖν οἶδας τρόπον. καὶ μή μοι προφέρῃς μικροψυχίαν ταῦτ' ἀξιοῦντι μαθεῖν πρὸ τοῦ σε τὴν γλυκεῖαν ἐμοὶ θέαν ἰδεῖν καὶ ἀκόρεστον· ἐπειδή περ ἂν μὲν ἔχῃς ἀγγεῖλαι χρηστά, τοῦ χάριν ἡμῖν τοῦ χρόνου φθονήσεις καὶ τῆς μάλιστα διαρκοῦς ἡδονῆς· καὶ διατί μὴ τὸ σὸν ἀγαθὸν μᾶλλον σκοπήσεις[6], ἡδὺν φανῆναι καὶ ἀγαθὸν ἐκ τοῦ καλὰ κἀγαθὰ[7] ἔχειν μηνῦσαι, ἢ τοὐλάττωμα τοὐμὸν διὰ τὸ ἐπισπεῦσαι τὴν αἴτησιν; εἰ δὲ τοιαῦτα μὲν οὐδαμῶς, τὰ δ' ἐναντία κατὰ πολύ, πρῶτον μὲν οὐ μικροψύχων ἔργον λέγεις, ἐθέλειν ἀκούειν ἃ μὴ πρὸς ἡδονὴν ὄντα τυγχάνει· ἔπειτα δὲ πῶς οὐ χρὴ πᾶσαν εἰσάγειν σπουδὴν ἐν αἰσθήσει γίνεσθαι τῶν λυ-

[1]) δοκοῦντα δύο A.
[2]) κατὰ τὸν δικαίου B.
[3]) κολάσοι A. κολάσειν B.
[4]) κεκωλυθέντας A.
[5]) προσῄει A.
[6]) σκοπήσατε A.
[7]) ἀγαθὰ A.

πούντων αὐτίκα, ἅ γε καὶ προκαταλαμβάνειν λυσιτελέστερον ἦν ὥσπερ κἀπὶ τῶν σωματικῶν ἔχει κακῶν, ἵνα καὶ πλείω ἐκ τοῦ χρόνου ἔχοιμεν ἄδειαν μετ' ἀσφαλείας καὶ τοῦ καθεστηκῶτος καὶ βουλεύεσθαι καὶ πραγματεύεσθαι;

ϛη') Τῷ ἐπὶ τῶν δεήσεων

Σήμερον ὀρθρίσαντί μοι, ἐπιθυμία ἐγένετο ἀναγνῶναι, μηδὲν τοιοῦτον ἐξ ἡμερῶν ἤδη πολλῶν δεδρακότι· ἐπεθύμουν δ' οὐκ ἄλλο ἢ μετιέναι τινὰς τῶν τοῦ μεγάλου θεολόγου ἐπιστολῶν· καὶ δὴ τὸ σὸν ἔργον μετὰ χεῖρας λαβὼν εἶχον περὶ αὐτό· διιόντι δέ μοι, μεταξὺ θαυμάζειν ἐπῄει, πρᾶγμα δρῶντι μηδέπω καὶ τήμερον παρὰ σοῦ γεγονός· τὸ δὲ ἦν, οὐχ οἷον ἑνὶ λόγῳ περιλαβεῖν· ἥ τε γὰρ τάξις τῶν γεγραμμένων μετὰ τῆς συνθέσεως ἄριστα ἔχειν ἔδοξεν ὡς οὐδέποτε· αἵ πανταχόθεν ἡγμέναι γραμμαὶ μεθόριον ἐσόμεναι τῆς καταγεγραμμένης ἐπιφανείας καὶ μή, ἀκριβῶς ἦσαν δεικνῦσαι ὅπερ ἐγένοντο· τῶν στοιχείων οἱ τύποι μετὰ τοῦ ὁλοκλήρου καὶ ἀσύγχυτοι ἔμενον ῥᾳδίαν εἴ τις πειρῷτο παρέχοντες τὴν ἀνάγνωσιν· ὧν πάντων μία τις αἰτία ἔμοιγε κατεφάνη· ἡ δὲ τὸ βούλεσθαί σε πᾶσι τρόποις θεραπεύειν ἐμὲ καὶ ὑπὲρ τούτου πᾶσαν εἰσφέρειν σπουδήν· ἐπεὶ δὲ τοῦτο — καὶ τί γὰρ ἕτερον; — τῷ καλῷ τούτῳ ἔργῳ προσκείσθω καὶ τάχος, ὅπως ἑκατέρωθεν ἔχῃς συγκλείσας ἡμᾶς οὐδαμόθεν ἀποφυγεῖν ἔχοντας τοῦ σοὶ χάριν εἰδέναι τῆς σπουδῆς τε ἅμα τῆς περὶ τὸ ἔργον καὶ τῆς ἀρετῆς, δίκην θριγγῶν συγκλειουσῶν ἀσφαλῶς· ὡς εἴγε τῶν δύο θάτερον ἀπείη, εὔδηλον δήπου ὡς ἔσται ἡμῖν χώρα τὴν πρέπουσαν μὴ ἀποδιδόναι εὐχαριστίαν· ἢ τοῦ ἔργου μεμφομένοις ὅτι οὐ καλόν, ἢ τοῦ τάχους ὅτι μὴ μετὰ τὸν προσήκοντα χρόνον· ὑπὲρ ἀμφοτέρων δὲ μέμφεσθαι, καὶ τοῦ ἔργου καὶ τοῦ χρόνου καὶ αὐτοῦ γε τοῦ λόγου ἀπείη.

ϛθ') Τῷ Σταυρακίῳ

Τύφον ἡμῖν ἐγκαλεῖς, ὦ 'γαθέ, καὶ οὐχ ἁμαρτάνεις λέγων[1], εὖ ἴσθι· τετυφωμένοι γὰρ ἀληθῶς ἡμεῖς καὶ ὑπεροπτι-

[1]) λόγων B.

κοί, κἂν μὴ πρὸς οὐδένα ἕτερον, πρὸς δ' οὖν τοὺς καταφρονητὰς τῶν ἡμετέρων, εἴπέρ εἰσί τινες τὰς σφῶν ὀφρῦς αἴροντες καθ' ἡμῶν. Περιφρονοῦμεν τοίνυν περιφρονούμενοι, καὶ οὐκ ἄλλους ἢ τοὺς ὑπερόπτας ὑπερορῶμεν, ἵνα κατὰ τὴν παροιμίαν παττάλῳ ἐκκρούηται πάτταλος, καὶ οὐκ ἔσθ' ὅπως τετυφωμένοις ἀνδράσιν ἐπιεικῶς ἡμεῖς προσενεχθῶμεν· οὐ μὰ τὴν ἡμετέραν φιλίαν, κἂν ἐπὶ γῆς μὲν ἐκεῖνοι τοὺς πόδας, εἰς οὐρανὸν δὲ τὸ κάρα ἐρείδωσιν· ἀλλὰ καὶ μεγαλαυχησόμεθα κατὰ τῶν μεγαλαύχων, καὶ αὐθαδιούμεθα, καὶ τὴν ὀφρὺν κατὰ ταὐτὸν ἐκείνοις ἢ καὶ ἔτι μᾶλλον ἀντάρωμεν· ἐπειδὴ καὶ οὗπερ ἐγκαλούμεθα πάθους οὐ μᾶλλόν γε ἡμεῖς αἴτιοι, ἤπερ οἱ ὀλιγώρως διακείμενοι πρὸς ἡμᾶς, ἐξ ὧν δρῶσι διδάσκοντές με τὸν τύφον, καὶ τὰς τῆς ὑπεροψίας παρέχοντες ἀφορμάς· ὥστε σωφρονιστέον ἐστὶ πρῶτον ἐκείνους ἀνθρωπικώτερον προσφέρεσθαι τοῖς ἀνθρώποις, μετὰ δὲ καὶ αὐτὸς ἕψομαι, φησὶν Ὅμηρος· καί γε ἐπιεικὴς μᾶλλον παντὸς καὶ πόρρω τύφου[1] φανήσομαι· τῆς γὰρ πρώτης ἀποφυγείσης πηγῆς, στήσεται παραχρῆμα καὶ ὁ ἐκεῖθεν φερόμενος ῥοῦς· καὶ φλόγα πυρὸς οὐκ ἄν τις ἴδῃ συνισταμένην μὴ ὄντος τοῦ ὑπεκκαύματος· καὶ ταῦτα μέν σοι ὡς ἐν μετρίοις φάναι τοῦ τύφου χάριν τοῦ ἡμετέρου. Τῆς ἀγραφίας δὲ πέρι, ἣν καὶ τεκμήριον αὐτὸς τοῦ κατ' ἐμὲ τύφου ποιεῖς, ταύτης ἕνεκα, εἴτι μοι μέμφῃ — πάντως δὲ μέμφῃ ἂν — ἐκ μέρους καὶ σαυτὸν αἰτιῶ· ἔργα [καὶ] ταῦτα ἀνδρὸς δικαίου ποιεῖν· ἐπίσης γὰρ ἄμφω σύ τε κἀγὼ αἴτιοι τοῦδε τοῦ πράγματος, ἵνα μὴ λέγω καὶ μᾶλλον εἴπερ ἐγὼ σύ· πλεῖστα μὲν γραμμάτων πρὸς ἐμοῦ δεδεγμένος, ἀνταποστείλας δὲ οὐ τοσαῦτα· εἰ δ' ἐμοὶ μόνῳ ἀντεγκλήματος τὸ μὴ γράφειν προφέρεις, σαυτὸν δ' ὑπεξάγεις αἰτίας, οὐχ ὁρῶ πῶς οὐχ ὑφαιρῇ λαθραίως τὰς ψήφους, μᾶλλον δ' οὐ λαθραίως, ἀλλ' ἀναίδην τῆς ὀρθῆς κρίσεως κατορχῇ· ὧν ἕνεκα καὶ ἀδικεῖς οὔτ' ἐμὲ οὔτ' ἄλλον ἀνθρώπων οὐδένα, τὴν δ' ἀλήθειαν αὐτὴν καὶ τὴν ὅμαιμον δίκην· καὶ ταῦτα φιλόσοφος ἀνὴρ ὤν, καὶ τὴν τῆς γεωμετρίας ἰσότητα ἐπαινῶν, καὶ πρός γε χαρτοφύλακος ἔχων

[1]) ἐνταῦθα λήγει ὁ κῶδιξ B.

ἀξίωμα ἐν οὕτω περιφανεῖ καὶ μεγάλῃ τῇ πόλει, καὶ τοῦ δικαίου προβεβλημένος, εἴ καί τις ἕτερος ἐν Θεσσαλονίκῃ.

ϱ΄) Τῷ μοναχῷ κυρῷ Μεθοδίῳ

Ὑγιαίνοις ἐν Χριστῷ τιμιώτατε· ἐξ εὐχῆς μοι τὸ τοῦ γράμματος ἔστω προοίμιον· ἃ δὲ μετὰ τὸ προοίμιον καὶ τὴν εὐχήν, τὸ βιβλίον ἡμῶν ὁ Δημοσθένης, εἰ καὶ μὴ μόνον Δημοσθένης, ἀλλ' οὖν οὕτω λεγέσθω ἐκ τοῦ πλεονάζοντος, ὃν τρόπον καὶ Ἀναξαγόρας ἠξίου καλεῖσθαι τὰ πράγματα· τὸ τοιοῦτον οὐδὲ βιβλίον ἐστί, κἂν ἡμεῖς ὀνομάζωμεν, οὕτω τοῦ πόθου βιάζοντος, ἀλλ' ἐν ὕλῃ ἔτι καὶ διακεχυμένον καὶ ἄτακτον, ὥστε δεῖσθαι, εἰ μέλει ὅπερ ὀνομάζεται εἶναι καὶ χρήσιμόν τι ἔχειν τῷ καμόντι περὶ τὴν κτῆσιν αὐτοῦ, τῆς συνδεκτικῆς καὶ εἰδοποιοῦ εἴτε τέχνης χρὴ λέγειν εἴτε δυνάμεως· ἐπεὶ δὲ τέχνη καὶ δύναμις προσαρμόζειν τοιᾷδε ὕλῃ τὸ οἰκεῖον εἶδος ἐν σοὶ εὖ ποιοῦσαι συνέδραμον, σοῦ λοιπὸν αὐτῷ χρεία καὶ παρὰ σοὶ τὸ μὴ ἀτέλεστον μηδὲ παρερριμένον κεῖσθαι τὸν τοσοῦτον Δημοσθένην. Οὐκοῦν ἔχου ἔργου ταχύνας καὶ εἰς δέοντι εἶναι τὸν ῥήτορα ποίησον, ὡς κινδυνεύει γε μηδὲν εἶναι· καὶ τί γὰρ εἴη τὸ εἴδους ἐστερημένον, μὴ σοῦ ἐπιβαλόντος τὴν χεῖρα αὐτῷ; ἀλλ' ἵνα μὴ δόξω σοι ἀνδρῶν ἀδιακρίτων πρᾶγμα ποιεῖν τοιούτων ἅπτεσθαι καταναγκάζων ἐν τῷ τοῦ πνευματικοῦ ἀγῶνος καιρῷ, προθεσμία σοι τοῦ ἀπαρτίσαι οὐ μιᾶς ἑβδομάδος ἔστω χρόνος, οὐδὲ δυοῖν, ἀλλὰ τριῶν ὅλων, μέχρι τοῦ πάσχα τοῦ ἱεροῦ· διὸ ἐν τῷ τοσούτῳ καιρῷ μετὰ ῥᾳστώνης ἐκτείνων τὰς χεῖρας εἰς τὸ ἔργον, μᾶλλον δὲ εἰς τὸ πάρεργον εἰπεῖν ἀληθέστερον, ποίει ὅ, τι ἂν Θεὸς εὐδοκοίη διὰ σοῦ. Ταῦτα θαρρούντως πρὸς σὲ τέως εἰ δυνατά σοι· εἰ δ' οὖν, οὐ βιάζω ὅτι καὶ μᾶλλον ἔμοιγε φίλον, μηδέποτε κτῆμα ἐμὸν Δημοσθένην γενέσθαι, ἢ σοὶ ὁπωσοῦν φανῆναι βαρὺν τὸν Γεώργιον· πρὸς γὰρ τὴν σὴν ἀγάπην καὶ σὲ λῆρος· ἐμοὶ σαφὴς καὶ ἡ ἐκείνου δεινότης καὶ μέθοδος καὶ πάντα κτήματα καὶ μικρὰ καὶ μείζω.

ρα') Τῷ αὐτῷ

Ἐπανήκομεν ἐκ τῆς ἐκδημίας ἢ περιπλανήσεως ἢ ὅπως σοι φίλον τὴν μηδένα σκοπὸν ἔχουσαν ἔξοδον ὀνομάζειν, καὶ ἐπανήκομεν ἐρρωμένως καὶ εὖ τοῦ σώματος ἔχοντες· εἴη δὲ καὶ περὶ σοῦ ταῦτα ἀκοῦσαι, ρῶσιν δηλονότι καὶ ἄλλην ἅπασαν εὐεξίαν. Εἰ δ' οὐκ ἐπέστημεν παρὰ σὲ — εἰκὸς ὂν ἐπιστῆναι — μὴ θαυμάσῃς· μυρία γάρ τινα ἐπισυμβάντα ἐμπόδια ἐπέσχε τε καὶ οὐ συνεχώρησεν ὡς ἐκ τοῦ ῥάστου τὴν πρὸς σὲ παρουσίαν ποιῆσαι· ἀλλ' εἴπερ τό γε νῦν ἔχον, παρὰ τὰ ῥηθέντα ἐπισχεθῆναι συνέβη ὥστε μὴ παρεῖναι, ἀλλ' οὐ καὶ τὸν ἑξῆς ἅπαντα χρόνον τοῦτ' ἔσται συμβάν, ὅτι μηδ' ἀεὶ τὰ σκῶλα προσέσται· παύσεται δὲ τῷ χρόνῳ ποτὲ κατὰ τὴν φύσιν τῶν ὑπὸ γένεσιν πάντων ὥσπερ δῆτα καὶ τῷ χρόνῳ συνέστη. Οὐκοῦν προσδόκα τὴν πρὸς σὲ παρουσίαν ἡμῶν ἐσομένην αὐτίκα μάλα μετὰ τὴν ἐκ τοῦ μέσου τῶν κεκωλυκότων ἀπαλλαγήν.

ρβ') Τῷ Φακρασῇ Ἰωάννῃ

Βαμβακίνας ἐκ μόνης θατέρας τῶν ἐπιφανειῶν γεγραμμένας πέπεισμαι οἴκοι σοι παρερρίφθαι πολλάς· αἱ δὲ σοὶ μὲν εἰς οὐδὲν χρήσιμαι, εἰ μὴ ἄρα λέγεις εἰς ἔξαψιν φλογὸς ταμιεύειν αὐτάς, ἐμοὶ δ' εἰ πέμψεις, μεγάλην μὲν πληρώσαιεν τὴν χρείαν, μείζονα δὲ καὶ σὺ δι' αὐτῶν τὴν χάριν ἀποίσεις· ὅρα γοῦν εἰ δόξεις τοσοῦτον τόλμης ἀνθάπτεσθαι, ὥστ' ἐπὶ συμβάσεις τοιαύτας χωρῆσαι, ἐξ ὧν ἔσται χάριν οὐ φαύλην εἰκῇ παραβεβλημένοις πράγμασι καὶ ὅλην τὴν ἡμέραν πατουμένοις ὠνήσασθαι.

ργ') Τῷ Μελιτινιώτῃ

Ἴσως μὲν γράψεις, ἴσως δ' οὐ γράψεις ἀμνηστίας ἡμᾶς μὴ φανέντας σοι ἐν τῷ παρόντι ὁποίους ἐχρῆν· πλὴν ὅπως σὺν τῷ δικαίῳ ἑκάτερον ἔχεις ποιεῖν, κἀμοῦ λέγοντος ἀνάσχου· οὕτω γὰρ κἂν τοῖς δικαστηρίοις νομίζεται· λέγω τοίνυν ἀπολογούμενος, εἴτε ἐγκαλεῖ τις, εἴτε καὶ μή· ἡμέραν τὴν

Κυριακὴν καὶ πρώτην ἥμην παρὰ σοί· ἐχρῆν δὲ καὶ τὰς ἑξῆς καὶ τὰς πάσας· ἀλλὰ τήν γε Δευτέραν ὀδύνη τις συνήθης ἐπὶ κακῷ τῷ ἐμῷ ἐστρόβει μου τὰ ἔνδον, πολὺ δὲ πλέον περὶ τὴν κύστιν· μάλιστα δὲ ἵνα μὴ ἔρχωμαι[1] κύκλω, τὰ περὶ τὴν τοῦ ὑγροῦ περιττώματος ἔξοδον· οὗ[2] χάριν ἔγνων χρήσασθαι βαλανείῳ τοῦτ' ὠφελεῖν καὶ πάλαι καὶ νῦν τῶν ἰατρῶν λεγόντων ἀκούων, καὶ αὐτῆς γε διδασκούσης τῆς πείρας. Ἐκείνην γοῦν τὴν ἡμέραν οὐκ ἦν χρήσασθαι, ἀλλὰ τὴν ἑξῆς, καὶ ἐχρησάμην γε τὴν ἑξῆς[3] τρίτην τε οὖσαν τῆς ἑβδομάδος καὶ ἀνειμένην εἰς ἐλαίου μετάληψιν, εἴτις βούλοιτο· ἡσυχάζειν ἔδει μετὰ τὸ βαλανεῖον, καὶ ἡσύχασα· οὐ διὰ τοῦτο καὶ μόνον, ἀλλ' ὅτι καὶ ὁ ἀὴρ ἀνωμάλως ἔχων ἄκοντας ἡσυχάζειν ἐποίει. Τί οὖν; διεσκοπούμην τὴν ὑστεραίαν, ἡ Τετρὰς δὲ ἦν, ὡς ἀπαραίτητόν τι πρᾶξαι τὸ ἐλθεῖν παρὰ σέ· ἀλλ' ὅρα πῶς κἀπὶ τῶν μάλιστα ῥᾳδίων ποιεῖν τὰ τῆς γνώμης οὐκ ἐκ τοῦ εὐκόλου προβαίνει· ὡς γὰρ διεσκοπούμην, αἰφνίδιον ἤρξατό μου ἡ παρειὰ τὸ σύνηθες πάσχειν, ὀγκοῦσθαι· τοῦτο πάσχουσα σχολάζειν ἐποίει· ὠγκοῦτο δὲ δυοῖν ἕνεκα, ἢ ὅτι τὴν πεντεκαιδεκάτην ἡμέραν τοῦ κατιόντος ῥεύματος ὥσπερ τακτὴν περίοδον ἔχοντος, ταύτης ἤδη καταλαβούσης, οὐκ ἦν οὔτε ἡσυχάσαι τὸ ῥεῦμα τοῦ μὴ κατελθεῖν, οὔτε μὴ ἐξῳδηκέναι τὴν εἰωθυῖαν χώραν δέχεσθαι τὸ ὑγρόν, ἢ ὅτι καὶ τοῦ βαλανείου τὰ τῆς κεφαλῆς περιθερμήναντος, ὡς εἰκός, ἔδει κίνησίν τινα τῶν ταύτῃ γενέσθαι ὑγρῶν καὶ μέντοι ἐγένετο· πλὴν οὐχ ὡς εἰώθει τοῖς ἄλλοις ἀνθρώποις, ἀλλὰ κατὰ τὸ ἐκείνοις μὲν ἀσύνηθες, ἐμοὶ δὲ καὶ λίαν εἰωθός· ἀφ' οὗ γε δὴ καὶ ἡσυχάζω καὶ τὴν ἐν ὑπαίθρῳ διατριβὴν ἀποστρέφομαι. Ταῦτ' ἦν ἐμοὶ βουλομένῳ πρὸ τῆς γραφῆς καὶ τῆς ψήφου διεξιέναι, καὶ διεξῄειν· σὺ δὲ ὁποῖόν ἐστιν αἱρουμένῳ σοι πρᾶττε· καὶ δίωκε ἣν βούλῃ, καὶ μὴ διώκῃς, εἰ τοῦτό γε νικῷ παρὰ σοί· ὡς ἡμεῖς γε καταδεξόμεθα καὶ μάλα ἀσμένως τὴν παρὰ σοῦ ψῆφον ὁ-

[1]) περιέρχωμαι A.
[2]) οὗ γε A.
[3]) ἐχρησάμην — τὴν ἑξῆς] ἐλλείπ. ἐν A.

ποία ποτ' ἂν ᾖ· πλὴν ὅπως ὅ γε ἐπὶ τοῖς παροῦσι ποιῆσαι κρίνεις, ἔχοιεν καὶ ἄλλοι συνεπαινεῖν.

ρδ') Τῷ Δουκαίτῃ

Λόγος ὅτι παίσματα ἐνῆσαν τῷ γράμματι, ὅπερ ἔναγχος ἐπεπόμφειν πρὸς σέ, καὶ τῷ λόγῳ οὐκ ἀπιστῶ· τί γὰρ καινόν, εἰ πταῖσαι συνέβη μοι, εἴτε τῷ ἐπιλελῆσθαι εἴτε τῷ ἀπροσεκτῆσαι εἴτε τῷ τι παθεῖν ἕτερον, οἷα πολλὰ πάσχειν εἰκός ἐστιν[1] ἀνθρώπους ὄντας ἡμᾶς· τὸ δ' ἐξ ἑνός, ἀσκέπτως καὶ τούτου συμβάντος, διαβολὴν ἡμῶν καθ' ὅλην τὴν τέχνην ἐργάζεσθαι, οὔ μοι δοκεῖ εὐγνωμόνων εἶναι ἀνδρῶν, οὐδ' ἔξω πάθους διαιτώντων τοῖς πράγμασιν· οἱ γὰρ αὐτοὶ οὕτως ἔχοντος διακρίσεως ῥᾳδίως ἂν μοι δοκοῦσι[2] καὶ τὸν ἀέρα λέγειν κακῶς, ὃς ἀπὸ πάντων τῶν αἰσθητῶν ἡμῖν τοῦ ζῆν ἐστιν αἰτιώτατος, ἣν ἐπέκεινά ποτε τοῦ μετρίου θερμοτέρου αἴσθωνται ἢ ψυχροτέρου, καὶ τὴν γῆν ἢ κἀπὶ τοῦ νώτου φέρει ἡμᾶς, ὡς ἄχρηστον διαβάλλειν, ἂν ἐπὶ καιροῦ τινος οὐ δώσει τὰ σπέρματα εἰωθυῖα τὸν ἅπαντα χρόνον διδόναι, καὶ τὴν φύσιν αὐτὴν καὶ τὴν τέχνην, ὅτι ἐστὶν ἐφ' ὧν οὐδετέρα τοῦ κατ' αὐτὴν ἐφικνεῖται σκοποῦ· καὶ δῆλον[3] ἔκ τε τῶν ὅσα ἀποκυΐσκεται τέρατα, καὶ ὅσα τεχνῖται ἐν οἷς ἐργάζονται ἁμαρτάνουσιν· ἀλλ' ἐκεῖνοι, φίλον μὲν ὂν[4] αὐτοῖς οὕτω κρίνειν, κρινόντων· οὐ γάρ μοι περὶ τούτων λόγος πολύς, οὐδ' ἔστιν αὐτοῖς προσεκτέον τὸν νοῦν, ἀπαιδεύτοις γε και εἰ μὴ ἄλλοθέν ποθεν οὖσιν, ἐκ δ' οὖν τῆς προσφάτου κρίσεως ταυτησί· σὺ δὲ τῆς ἡμετέρας ὠφελείας κηδόμενος ἐθέλησον ἀνταποστεῖλαι τὸ γράμμα ἡμῖν· τοῦ χάριν; ἵν' ἐν τούτῳ τὰ οἰκεῖα κατανοήσαντες ἁμαρτήματα, μᾶλλον ἡμᾶς αὐτοὺς ἀκριβεστέρους εἰς τὸ μετὰ ταῦτα τοῦ χρόνου παράσχοιμεν· μνήμη γάρ τι σφαλμάτων πλείστη γένοιτ' ἂν πρὸς διόρθωσιν ἀφορμή.

[1]) εἰκός ἐστι πάσχειν A.
[2]) δοκῶσι A.
[3]) καὶ δῆλον ἔκ τε τῶν ὅσα τεχνῖται A.
[4]) φίλον ὂν A.

ρε') Τῷ Παχυμέρῃ μεμφομένῳ ὅτι οὐ καθ' ἡδονὴν γράφει[1]

Ἐπικροτεῖν οὐκ οἶδα πρὸς ὀργάνων φωνὰς οὐδ' αὖ καθὼς ἂν μάλιστα τοῖς ὁρῶσιν ἡδὺ γένοιτο διακλᾶσθαι τὰ μέλη καὶ περιφέρεσθαι, ὃ δὴ ὀρχουμένων ἐστὶν ἔργον καὶ λυγιζομένων αἰσχρῶς, ἀλλὰ κατὰ τὴν ἀρχαίαν ἐκείνην παραίνεσιν τὴν ἀδελφικὴν καὶ κοινὴν πᾶσιν ἀνθρώποις οἶδα ἐμαυτὸν τίς εἰμι, καὶ πράττω κατ' ἐμαυτὸν ὡς ἄριστα νοῶ συμφέρειν ἐμοὶ οὐδὲν οὐδαμῶς τοῦ θεάτρου καὶ τῆς περὶ ἐμὲ κρίσεως τῶν ἄνωθεν καθημένων εἰς τὴν θεωρίαν φροντίδων· ἐπειδή περ ἢ οὐκ ἴσασι πῶς ἂν τὴν ψῆφον περὶ τῶν ἐξεταζομένων ἐκφέρωσιν οὐκ οὔσης τῆς τοῦ διαγινώσκειν δυνάμεως, ἢ εἰδότες οὐ καθαρεύουσαν φθόνου τὴν κρίσιν ἐργάζονται· ἑλλανοδίκης δ' ἔμοιγε ἀκριβὴς καὶ πρὸ παντὸς ἄλλου στεργόμενος ἡ ἀλήθεια, παρ' ἧς, καὶ δικαιῶν κρίνεσθαι τὰ ἐμά, κἂν ἁλίσκωμαι, οὐ βαρέως φέρω· κἂν αἰτιάματος ὑπέρτερος φαίνωμαι, τότε θαρρούντως ἐμαυτὸν εὐδαιμονίζω καὶ ἄνω ἔχων τὸ κάρα πορεύομαι. Τί γοῦν; ὅσα τις ἐπαινεῖ, ὅσα τις σκώπτει μὴ μετὰ τῆς ἀληθείας ταῦτα ποιῶν, διαβολαὶ καθαραὶ καὶ ὕθλος ἐμοί· καὶ οὔτ' ἐπαινοῦντός τινος ἐπιστρέφομαι, ἂν ἥκιστά μοι τῶν ἐπαίνων προσήκῃ, καὶ τοῦ ὑβρίζοντος περιφανῶς ἀλογῶ, ὅταν ἐκεῖνος ἐπὶ ματαίοις ληρῇ. Τοιγαροῦν οἷς φίλον σκώπτειν εἰς τὰ ἡμέτερα καὶ διασύρειν μὴ ἀμελούντων, ἀνεῖται γὰρ κατ' ἐξουσίαν ἀνοηταίνειν τοῖς ἄφροσιν· ἐπειδή περ οὔτ' ἂν ἐγὼ φαῦλος, εἰ οὐκ εἰμί, παρὰ τὰς ἐκείνων ἔσομαι φλυαρίας καὶ σφίσιν οὐδέν ποτ' ἄλλο κερδάναι προσέσται, ὅτι μὴ τὸ βάσκανοι δόξαι καὶ μιαροί, τοῖς τῶν ἄλλων καλοῖς, ὅσα γε τὸ κατ' αὐτοὺς λυμαινόμενοι· τῷ γὰρ εὐδαίμονι καὶ τρισολβίῳ καὶ πλοῦτον περιβεβλημένῳ μακρόν, τίς ἂν γένοιτο λόγος τῶν πέριξ, ἂν ὑπ' ἀναισθησίας ἐκεῖνον οὑτινοσοῦν ἡγῶνται πενέστερον; οὐδεὶς οὐδέποτε πάντως· σαφῶς εἰδότι ὡς οὐκ ἔστιν οὐδὲ

[1]) τινὶ τῶν ὁμιλητῶν διά τινα αἰτιώμενον, ὅτι μὴ πρὸς ἡδονὴν γράφει Α.

κἂν[1] γένοιτο πρὸς τὰς ἀνθρωπίνους δόξας τὰ πράγματα μετατίθεσθαι· διὸ καὶ λαμπρὸς λαμπρῶς καθεδεῖται ἐκεῖνος οἷς ἔχει καὶ ἅπερ ἔχει τρυφῶν, καὶ πρός γε πλατὺν τῶν ἀνοήτων κατασκεδάζων τὸν γέλωτα· οἱ δέ, ἂν μὲν εἰδότες ὑποκρίνωνται τὸν ἀγνῶτα, σκαιότητος καὶ βασκανίας ἀποίσουσιν ὄνομα· ἂν δὲ σαφῶς ἀγνοοῦντες ἀποπλανῶνται τῆς ἀληθείας, τὴν τοῦ εὐήθεις εἶναι τέως οὐκ ἀποκρούσονται δόξαν.

ρστ´) Τῷ Σταυρακίῳ

Τὸ μὲν πρὸς ἡμᾶς σου γράμμα λακωνικόν· ἐγὼ δὲ ἄρα πολυλόγος τις, καὶ ὡς Ὅμηρος εἴπῃ ἀμετροεπής, ὥσπερ οὐκ ἐν Σπάρτῃ μέσῃ, ἀλλ᾽ εἰς δικαστήρια διατετριφὼς ἀττικά· τί οὖν ποιήσομεν; τῷ ἡμῶν αὐτῶν τρόπῳ καὶ αὖθις χρησόμεθα ἢ τῷ σῷ πρὸς σέ; ἀλλ᾽ ἐκεῖν᾽ ὡς μὲν εὖ οἶδα χρωμένων ἀποκναισθήσεται ὁ Σπαρτιάτης· οὐδὲ γὰρ οἶδε μὴ ἀηδίζεσθαι εἴ τις ἐκτείνει τοὺς λόγους· οὕτως δέ γε ὡς οἰκεῖα ἑαυτοῦ ἀγαπήσει τὰ ῥήματα. Ἵνα τοίνυν μὴ τῇ δριμύτητι τοῦ πρὸ τοῦδε γράμματος καὶ ἡ τοῦδε ἀηδία συνέλθῃ, κᾆτα ὥσπερ ἐκ συμμαχίας ἐπικρατεία τοῦ χείρονος γένηται, ἀπορριπτέον Γεώργιον τοῦ Γεωργίου ἦθος, μεταληπτέον δ᾽ ἕτερον ὡς ἐν τῷ παρόντι καὶ μεθαρμοστέον πρὸς τὴν μηδέποτε συνήθη βραχυλογίαν αὐτῷ· ἃ δὲ ὧν ἕνεκα βραχέα τε ἅμα καὶ πεφεισμένως μέλλομεν λέγειν, ἔξωθεν νοητέον τὸ ταῦτά ἐστιν· οὔτε δάκνον ἦν οὔτε δριμύ σου τὸ γράμμα· πῶς γὰρ τὸ ἐν παιδιᾷ καὶ γυμνασίου χάριν προενηνεγμένον οἷα θαμὰ παίζειν φιλοῦμεν οἱ τοὺς λόγους ἐπιτηδεύοντες; ἀλλὰ θαρροῦντος ἦν τὰ πρὸς σὲ ὥστε καὶ θαῦμα ἔγωγε οὐκ ἐν ὀφθαλμοῖσι κατὰ τὸ ἔπος ὁρῶμαι, ἀλλὰ τοῖς ὠσὶν ἐνωτίζομαι· εἰ οὐ μόνον οὐχ ἡδονῆς σοι ἐκεῖνο τὸ γράμμα ἔδοξεν, ἀλλὰ καὶ λύπης ἐπακτικὸν ὥσπερ εἰ μὴ τοιοῦτον ἦν ὁποῖον εἰκὸς ἐξ ἐμοῦ πρός σε τὸν ὁμόψυχον εἶναι. Ἀλλ᾽ ἵνα μὴ καὶ αὖθις μακρολογῶ, τὸ μὲν ὁποῖα ἐγὼ γράφειν κεχρημένων ἐστὶ παρρησία καὶ θαρρούντων τοῖς φίλοις· τὸ δ᾽ αὖ εἴργειν τὰ τοιαῦτα γράφειν, παρρησίας ἀπο-

[2]) οὐδ᾽ ἂν B.

στερούντων προσηκούσης τοῖς φίλοις. Τοῦτο δὲ τί ἄλλο ἢ τῆς φιλίας ἀπόρρησις; ὅπερ τρόπον τινὰ συμβῆναι εὐλαβηθεὶς καὶ αὐτὸς δριμὺ μὲν τὰ πρῶτα ἔφης εἶναι τὸ γράμμα· εἶθ' ὥσπερ ἐκ μεταμελείας τοῦ ῥήματος τοῦδε κατεγνωκὼς δεῖν ᾠήθης ἐπαναλαβεῖν τεχνηέντως καὶ τὴν θεραπείαν τοῦδε προσθεῖναι μάλα σεμνῶς· ἢ δὲ ἦν τὸ φάναι· ἀλλὰ τὸ δριμὺ τοῦτο τῇ εὐνοίᾳ κρινόμενον, οἷον ὑπῆρχεν οὐκ ἔδοξε· ταῦτα δὲ πῶς οὐκ ἀνδρὸς σοφοῦ τε ἅμα καὶ εὐλαβοῦς; πῶς δ' οὐ φίλου σαφοῦς, καὶ ἀγαπᾶν ἐπισταμένου καθὼς ἂν καὶ ὁ τῆς ἀγάπης ἐπαινέσειε νόμος καὶ νομοθέτης. Ἀλλ' ἀγαπῴης οὕτως ἡμᾶς ἅπαντα τὸν ἑξῆς χρόνον, ὦ φίλη μοι κεφαλή, μεταβάλλων τῆς δὲ τῆς διαθέσεως ὑπ' οὐδενὸς μηδέποτε, μήθ' ὑπὸ ἀξιωμάτων τῶν κακῶς φυσιούντων, μήθ' ὑπὸ πλούτου τοῦ ἀεὶ συρομένου, καὶ τοὺς ἔχοντας διαπαίζοντος, μήθ' ὑπὸ ἄλλης οἱασοῦν εὐημερίας, ἀλλὰ μήθ' ὑπ' αὐτῆς τῆς αὐστηρότητος τῶν μοι πρὸς σὲ γραφομένων, ἐπειδὰν κατὰ σύμβασίν τινα ἐνθεωρηθῇ τι τοιοῦτο τοῖς γράμμασιν· ἀλλ' ὁ αὐτὸς μένων ἐν ἅπαντι τῷ παρεστῶτι, ἡγοῦ σοι πρὸς τοὺς ἐπιτηδείους λέγειν ἁρμόζειν, ὡς ἀνδρὶ φιλοσόφῳ τὸ θεσπέσιον ἐκεῖνο ῥητόν· ἐρωτᾷς δὲ ποῖον; τὸ ἐγὼ ὁ αὐτός εἰμι καὶ οὐκ ἠλλοίωμαι.

ρζ') Τῷ Θεογνώστῳ ἰητρῷ

Εἴθε ὥς περ ὀξύτατος εἶ πρᾶξαι, οὕτω δὴ καὶ νοῆσαι τὰ δέοντα, κἂν οὐδὲ τοῦτο ἄξιον εὐχῆς τοῖς εἰδόσι λογίζεσθαι· πλὴν ἐπὶ σοὶ μέγα καὶ τοῦτο ἡμῖν· καὶ εἴθε σου ἡ ἐπὶ τῶν ἔργων ὁρμὴ εἶχε καὶ λογισμὸν συνεπόμενον, ἢ μὴ μακρόθεν ἑπόμενον· νυνὶ δὲ οὐ τοῦτο· πολλοῦ γε καὶ δεῖ· ἀλλὰ καὶ πράττεις[1] ταχύτατα ὥσπερ ἄλλος τις νοεῖ· δίδως δὲ τάχος τῷ νῷ, οὐχ ὅσον ἄλλος τοῖς ἔργοις· ἢ τἀληθέστερον φάναι, πράξεις μέν σου γίνονται ὅσα καὶ νοῦς, προκαταλαμβάνουσαι πάντα· ὁ δὲ τῶν ἡμετέρων πάντων τὴν ἡγεμονίαν ἔχων, τὸ κεφάλαιον τῶν ἀνθρωπίνων καλῶν, ὀπισθόπους σοι ἥκει καὶ

[1]) ἀλλὰ πράττεις A.

ὕστερος· ὁποίας ἥκειν ἐκ Θεοῦ[1] καὶ τὰς ἐπ' ἀδικήμασι τιμωρίας λέγουσι ποιηταί· καὶ ἥκει μὴ διακρινόμενος[2] τί μὲν ποιητέον ἐστί, τί δ' οὔ, καὶ πρὸς τοῦτο μὲν ἐπιτρέψων, ἀπάξων δὲ ἀπὸ τοῦδε· μόνον δὲ ὅπως σοι μέμψηται τῶν γεγενημένων καὶ τόγε περὶ τῆς τοῦ νοός[3] ταχυτῆτος λεγόμενον, ὡς ἅπαντα χρήματα ὑπερβάλλει, ἐπὶ τῶν ἄλλων ὡς ἀληθέστατα ἔχον, ἐπὶ σοὶ καὶ μόνῳ ἐλέγχεται· καὶ περιτρέπεις ἡμῖν οὐ μόνον δὴ φιλοσόφων ἀνδρῶν λόγους τὸ σεβάσμιον κἀκ τοῦ χρόνου κἀκ τῆς ἀληθείας λαβόντας, ἀλλ' ἤδη καὶ τὰς φύσεις αὐτάς, καὶ καινότερόν τι χρῆμα ὑπάρχων φαίνῃ τῷ βίῳ· ἐφ' οἷς καὶ τί σοι συμβαίνει[4] ἢ καὶ τί συμβήσεται, μηδεμίαν σαυτοῦ πρᾶξιν μηδ' ἐπαινεῖν μηδ' ἀγαπᾶν, κἀπὶ πᾶσι μεταμελεῖσθαι καὶ μικροῖς καὶ μείζοσι· καὶ οὐδ' ὃ τοῖς ἄλλοις ἐπταικόσι λυσιτελεῖ ἡ τῶν ἐναντίων πεῖρα λέγω καὶ μεταχείρισις κἀπὶ σοὶ τὴν αὐτὴν δύναμιν ἕξει, ὅταν μετίῃς· οὐδὲ τἀναντία σοι τῶν σφαλμάτων ἐν καλῷ ποτε λογισθήσεται· διατί; ὅτι οὐδ' ἐπ' ἐκείνοις λογισμὸς προηγήσεται· ἀλλ' ὥσπερ ἔρημα ἡγεμόνος ὑπῆρχε τὰ πρότερα, εἶτα ἀπέβη κωφὰ καὶ οἷα οὐκ ἄν ποτε ηὖξω, οὕτω καὶ τἀναντία μὴ ἔχοντα ἐκεῖνον ἐπιστατοῦντα, ἁμαρτηθήσεται ὁμοίως τοῖς πρώτοις, καὶ τὸ καὶ αὖθις μεταμελεῖσθαι ἀναγκαίως ἀκολουθήσει τῷ δεδρακότι. Τοιγαροῦν εἰ καὶ μήπω, τὸ γοῦν ἀπὸ τοῦδε λογίζου, κἂν ᾖς ἐπταισμένος τοῖς ὅλοις.

ρη') Τῷ πρωτασηκρήτῃ Νεοκαισαρείτῃ[5]

Καλὲ κἀγαθὲ Μανουὴλ ὑγιαίνοις· τοῦτό μοι τῆς ὁμιλίας εὐχὴ[6] καὶ προοίμιον· τὸ δὲ μετὰ τοῦτο ὁ ὑμέτερος Γεώργιος· δευτέραν τῆς ἑβδομάδος καὶ ἑβδόμην βαδίζει παρ' ἡμᾶς, τὰς

[1]) ἐκ θεῶν A.
[2]) οὐ διακρινόμενος A.
[3]) περὶ τῆς νοὸς B.
[4]) τί συμβαίνει ἢ καὶ τί σοι συμβ. A.
[5]) Τῷ ἐπὶ τῶν δεήσεων A. ἡ ἐπιστολὴ αὕτη εἶναι ἡ πρώτη κατὰ τὸν B. τῷ πρωτασηκρήτις B.
[6]) καὶ εὐχὴ A.

ἐν μέσῳ δὲ οἰκουρεῖ· καὶ εἴθε[1] οἰκουρῶν διετέλει, ἀλλὰ μὴ ἄλλο τι τούτου χεῖρον ἔργον ἦν αὐτῷ· πλὴν δεδόσθω καὶ ἡ οἰκουρία[2]. Οὐκοῦν τί φροντίδας ἐμοὶ παρέχει ἐπὶ ματαίῳ; εἰ μὲν οὖν οὐ βούλεται παιδεύεσθαι, ἀπειπάσθω, καὶ ἡμῖν ἡ ἀπόρρησις εἰς ἕρμαιον ἔσται. Ἐπιθυμοῦμεν γὰρ ἀληθῶς νωθρᾶς καὶ ἀφυοῦς ἀπαλλαγῆναι ψυχῆς· εἰ δ' αἱρεῖσθαί φησι τὴν παίδευσιν, ἥ γε πρᾶξις αὐτοῦ τἀναντία κατηγορεῖ· καὶ μάλιστα ἐξ ὧν δρᾷ, ἀποστρέφεσθαι εἴποι τις ἂν αὐτὸν παίδευσιν ἢ ἀγαπᾶν. Ὁρᾷς γὰρ καὶ αὐτὸς τὸν ἄνδρα, ὡς οὔτε φύσεως ὀξείας, καὶ πάντα πόνον ὑπὲρ μαθήσεως ἀπαναίνεται. Καὶ πῶς ἂν γένοιτο[3] κατορθῶσαι τὸν οὕτω ῥαθύμως κινούμενον; ᾧ γε οὕτως ἐσπανισμένῳ γνώσεως[4] ὄντι, ἀγαπητὸν ἂν ἦν, καὶ εἰ πάσας ἡμέρας καὶ νύκτας σπουδάζοντι, ἀνῦσαί τι χρηστὸν ἐπεγένετο[5]· ἀλλὰ τῷ γε ᾗ ἀνθεκτέον σπουδῆς μὴ φύσεως εὖ ἔχοντι πρὸς ἃ κινεῖσθαι δοκεῖ, ἢ καὶ ἡμᾶς ἀπαλλακτέον τῆς ἀνηνύτου σπουδῆς.

ρθ') Τῷ σοφωτάτῳ μεγάλῳ Λογοθέτῃ

Οἶμαι πολλούς τινας ἔσχες ἰδεῖν ἀνδρείους μὲν οὐδαμῶς, ἐπαινέτας δὲ ὄντας ἀνδρίας καὶ φρονήσεως ἐραστὰς πρὸς δὲ καὶ δικαιοσύνης, ἀδίκους δὲ παντάπασι καὶ σωφροσύνης[6] ἀμετόχους πεφηνότας ἐπὶ τῶν ἔργων. Τοιοῦτον δή τινα μάνθανε ὄντα καὶ αὐτὸν ἐμέ· διαπύρως ἐρῶ τοῦ καλοῦ καὶ τῆς ἀρετῆς, καὶ σφόδρα ἐπαινέτης ἀμφοτέρων εἰμί, μέτεστι δέ μοι ἄλλως τῆς περὶ ταῦτα ἕξεως οὐδὲν οὐδαμῶς. Ἐπεὶ τοίνυν τοιοῦτος ἐγώ, ἐρωτικῶς ἔχω τῷ λόγῳ συγγενέσθαι τοῦ ῥήτορος, ὅτι καὶ σφόδρα καλὸν αὐτὸν ἡ φήμη παρέπεμψεν εἰς ἡμᾶς· πάντως δὲ καὶ ἐπαινέτης εἰμὶ τοῦ λόγου, εἴπερ τοιοῦτον ὄντα ὑπείληφα. Ἀλλ' ὅπως καὶ σὺν ἐπιστήμῃ ἐπαινῶν[7] εἴην, καὶ ἀληθῶς

1) εἴθε γε A.
2) δεδόσθω ἡ οἰκουρία A.
3) ἄν τοι γένοιτο A.
4) γνώσεως] φύσεως B.
5) ἄνωθεν τοῦ γράμματος π εὕρηται ξ ἐν τῷ B.
6) φρονήσεως A.
7) μὴ ἐπαινῶν A.

ἐπαινῶν, σὸν γένοιτ' ἂν ἔργον, γενήσεται δὲ χρόνον οὐ πλείονα ἢ ὅσος ἂν εἴη μιᾶς νυκτός, τὸν λόγον ἡμῖν βουληθέντος καταπιστεῦσαι.

ρι΄) Τῷ Μελιτινιώτῃ

Ὅτι οὐδ' ἡντιναοῦν ἡμῖν χρείαν τὸ τοῦ Βαλιανίτου παρεῖχε βιβλίον, ἡ οἰκία ἡμῶν καὶ τὴν ἀρχὴν ἐνταῦθα φανὲν οὐκ ἤθελε δέξασθαι· ἀλλὰ πρὸς τὸν δεῖνα αὐτίκα παρέπεμψεν, ὥστε κἂν ἐκεῖνον ἀπόνασθαι αὐτοῦ συνηθῆναι· καὶ νῦν παραφανὲν ἐξορίζει ἑαυτῆς· μηδὲ γὰρ εἶναι τόπον κενὸν ἐν αὐτῇ, ὃν ὁ περιττὸς Βαλιανίτης δι' αἰῶνος καθέξει ἀκίνητος. Ἀλλὰ τί πικρῶς δέχῃ τὸν λόγον, καὶ σκυθρωπάζων ἐθέλεις; δέχου τὸν σόν· οὐ βούλομαι αὐτὸν ἵστασθαι οὐδὲ μετὰ τῶν ἐμῶν σκευοφόρων· καὶ δεξάμενος, ἵνα ἐκ τοῦ ἴσου ἀντιτρώσας ἡμᾶς ἀνιάσῃς, ἐν τῷ καλλίστῳ σου τῆς οἰκίας δίδου κεῖσθαι αὐτῷ. Εἰ δὲ βούλει, καὶ πλείονος ἀξίου τιμῆς, ἢ καθ' ὅσην Ἀλέξανδρος ἔχειν παρ' ἑαυτῷ τὸν ποιητὴν ἐδικαίωσε· κἂν ἐντεῦθεν λυπήσῃς ἡμᾶς, δίκαια ἔσῃ πεποιηκώς· ἔφθημεν γὰρ καὶ αὐτοὶ προλυπήσαντες, τῷ Βαλιανίτῃ τῷ σῷ πᾶσαν εἴσοδον ἀποφράξαντες.

ρια΄) Τῷ Ἀκροπολίτῃ μεγάλῳ Λογοθέτῃ κυρῷ Γεωργίῳ διδασκάλῳ αὐτοῦ χρηματίσαντι

Κύριέ μου διδάσκαλε· ἐπεὶ πρὸς τοῦ κρείττονος ὁδηγηθεὶς ὑπέσχου δοῦναι τὴν βίβλον, καὶ αὖθις ὁδηγηθεὶς φάνηθι δούς· δόσιν δηλαδὴ τὴν δι' ἔργου καὶ πληρεστάτην, μεθ' ἣν λαβόντας οὐκ ἂν εἴη εἰς δευτέραν ἑαυτοὺς ζήτησιν καθιέναι, ἀλλ' αὖθις πρεσβεύω· καὶ πῶς οὐ περιττός εἰμι μετὰ τὴν ὑπόσχεσιν πράττων ἅπερ πρὸ ταύτης ἐχρῆν; πλὴν ἐπειδὴ δώσεις, καὶ μᾶλλον προθύμως εἴπερ ἐγὼ λαβεῖν ἐθέλεις ὡς τῆς ἐμῆς ὠφελείας κηδόμενος καὶ μᾶλλον ἢ αὐτὸς ἐμαυτοῦ ταχέως ἴσθι τοῦτο ποιῶν, ὡς ἂν μὴ μόνον ἐν τῷ διδόναι, ἀλλὰ καὶ τῷ ταχέως διδόναι εὐεργετῇς· ὅτι δέ ποτε δώσειν ὑπεσχημένος τὴν βίβλον ἀμφισβήτησις οὔτ' ἐμοὶ οὔτ' ἄλλῳ τῶν πάντων ἐστί,

τῶν εἰδότων λέγω ὁπόσον ἐπὶ τὸ ἀληθεύειν ὑπερβάλλει τὸ σόν· οὐ γὰρ οἶδας ἐπὶ τοῦ αὐτοῦ κατανεύσεις καὶ ἀνανεύσεις, οὐδὲ συγκαταθέσεις καὶ ἀναβολάς, οὐδὲ τόδε μὲν λέγειν, εἶτ' ἐξ ἐπιστροφῆς τὸ λεχθὲν ἀφανίζειν, οἷον καὶ τὰ μειράκια ὅταν καθήμενα παίζῃ καὶ γραμμὰς ἄγῃ κατὰ τῆς κόνεως· ἀλλ' ἔργου καὶ λόγου τοῦ σοῦ οὐδέν ἐστι τὸ διάφορον. Καὶ Ὅμηρός γε εἴπερ ἦν, λέγω, εἶτ' ἐβούλετο τὰ δίκαια λέγειν, ὡς παρὰ σοῦ μᾶλλον ῥηθὲν τὸ οὐκ ἐμὸν παλινάγρετον οὐδ' ἀπατηλὸν ἐποίησεν ἂν ἢ παρὰ τοῦ συζύγου τῆς Ἥρας. Ἀλλὰ ταῦτα μὲν περὶ σοῦ λέγειν ἐπὶ πλέον ἐάσθω, μήπως καὶ πέρα τῷ τοῦ δέοντος δόξω κολακικώτερον φθέγγεσθαι· οὐ γὰρ δέος μὴ καὶ παρὰ σοί· πάλαι γὰρ ἱκανήν σοι δεδωκὼς ἔχω τὴν πεῖραν, ὅτι τοὐμὸν πρὸς σὲ εἰλικρινές ἐστι καὶ ἀνόθευτον καὶ πλάσματος τοσοῦτον ἀπηλλαγμένον καὶ διεστὼς ὅσον γῆς τε καὶ σελήνης τὸ μεταξύ· ἀλλ' ὅπερ εἶπον ἵνα μὴ τοῖς ἄλλοις οὕτω νομίζηται, ὧδέ πη τὸν τοιοῦτον λόγον καταθετέον· Νικόλαον δὲ τὸν ἐμὸν πέμπω ἐπὶ μετακομιδῇ τοῦ βιβλίου, οὐκ ἐκ τοῦ παρέργου τοῦτον εὑρὼν οὐδὲ τυχαίως ὡς ἂν οἰηθῇς, ἀλλὰ ταῦτα διανοηθείς, καὶ μάλιστά γε διανοηθείς, ὡς ἐγώ μοι δοκῶ· τί δὲ διενοήθην; τὸ βιβλίον τῶν ὑπερλάμπρων ἐστί· φίλτατος δέ μοι ὁ Νικόλαος καὶ αὐτῆς τῆς ζωῆς προτιμώμενος· δεῖ τοίνυν τοὐμῷ φιλτάτῳ τὸ παρ' ἐκείνῳ ὑπηρετεῖσθαι στεργόμενον· καὶ τοῦτο μὲν δὴ ἐν ἐμοὶ διανόημα καὶ τοιοῦτο τοῦ πέμψαι πρὸς τὸν Νικόλαον· δεύτερον δὲ κατὰ τὸν σὸν Πλάτωνα ἐκ τοῦ αὐτοῦ γυμνασίου ἵνα σοι τόν τε γνήσιον τὸν ἐμαυτοῦ θεασάμενος καὶ γνωρίσας ἐντεῦθεν οἷον τρέφω πρὸς τοὺς λόγους τὸν ἔρωτα, ὅς γε δι' αὐτοὺς καὶ ὑπηρέτου σχῆμα τὸν ἀδελφὸν ἀναλαβεῖν ἔπεισα, μᾶλλον ἔτι δυσωπηθῇς καὶ παράσχῃς παραυτίκα τὴν βίβλον, τὸν περὶ τὰ τοιαῦτα πόθον ἐμοῦ ἀγαπήσας καὶ τὴν προθυμίαν ἀποδεξάμενος. Καὶ ταῦτα μὲν οὕτω γέγονε καὶ διὰ ταῦτα· σὲ δὲ εἴη τὴν ἐπιστολὴν εὐμενῶς διελθεῖν εἴ τι ἐν αὐτῇ πεπλημμέληται συγγινώσκοντα, ὡς ἔγωγε σφόδρα δειλιῶ περὶ ταύτῃ μήτε πῇ ἥμαρτον εἰδέναι μήτε τὰ δόξαντα ἡμαρτῆσθαι διορθώσεως ἀξιῶσαι δυνάμενος· τὴν βίβλον δ' ἐγχειρίσαι τῷ Νι-

κολάῳ, ὥστε καὶ δι' ἀμφοτέρων εὐφρᾶναι ἡμᾶς· ἢ διὰ μὲν τοῦ συγγνῶναι τοῖς ἡμαρτημένοις μὴ σφόδρα λυπῆσαι, διὰ θατέρου δ' εὐφρᾶναι, δοὺς ὡς τάχιστα ἀμφοτέραις ἐπιλαβέσθαι τοῦ ποθουμένου βιβλίου· ὅτι δὲ μετακομισθέντος, αὐτῇ ἐν πάσῃ τηρήσομεν φυλακῇ, ὑπισχνοῦμαι μὲν ἐγὼ καὶ ἐλπίζω μὴ ψεύσασθαι οὗτινος ἔργον καὶ τὸ πεῖραν διδόναι περὶ παντός.

ριβ') *Τῷ μεγάλῳ Λογοθέτῃ*

Οὐκ ὀλίγοι τῶν φίλων τὸν λόγον αἰτοῦσιν ἡμᾶς, τοῦτον δὴ λέγω τὸν προσφάτως ἡμῖν ἐπὶ τῷ μεγάλῳ συντεθειμένον Διονυσίῳ· αἰτοῦσι δὲ οὐχ ὅπως ἀναγνόντες ἀηδισθῶσι, τοῦτο γὰρ οὐδὲ πρὸς ἐνθυμήσεως αὐτοῖς, μάλιστα μὲν οὖν ὡς πλείστης μεταλάβωσιν ἐκεῖθεν εὐφροσύνης· καὶ γὰρ ἄτοπός τις[1] ἐλπὶς ἔνεστι τοῖς ἀνδράσι, καινοτέρων τινῶν χαρίτων ἀναπεπλῆσθαι αὐτόν· κἀγὼ δὲ πολλὰ λέγων μὴ οὕτως ἔχειν, ὅτι μηδὲ ἔχει[2], μηδὲ δεῖν οὕτω θαυμαστά τινα οἴεσθαι περὶ αὐτοῦ, οὐ πείθω· οὐ δέ μοι κατὰ μικρὸν γοῦν προσέχειν αἱροῦνται, πρὶν ἢ καὶ αὐτοὺς αἰσθέσθαι, καὶ τὸν περὶ τοῦ πράγματος ἔλεγχον ἀκριβεστέρᾳ πείρᾳ λαβεῖν. Διὰ ταῦτα τοίνυν ἥγημαι πρέπον τὴν τοῦ λόγου κρίσιν ἐπὶ τὴν σὴν ἐπιστήμην ἀνενεγκεῖν, κἀκεῖθεν ὥσπερ ἑλλανοδίκου καὶ ἀπαραλογίστου κριτοῦ, τί περὶ τούτου ὑπολαμβάνειν διδαχθῆναι[3]· οἷόν τι δὴ λέγω· σύνοιδάς τι δεξιὸν τῷ λόγῳ ὁ καλὸς καὶ δίκαιος σὺ βραβευτής, ὡς μὴ παντάπασι τὴν τῶν φίλων ἐπ' αὐτῷ ἐξελεγχθῆναι ἐλπίδα, τοῦτο δὴ καὶ ἡμῖν γνωριεῖς, καὶ τοῖς αἰτοῦσιν ἐγχειριοῦμεν[4] αὐτόν· οὐ θαρρούντως μὲν καὶ τότε, πλὴν μετὰ πολλῆς τῆς τῶν ἡμαρτημένων ἕνεκεν παραιτήσεως ἐγχειριοῦμεν· εἰ δὲ μηδὲν κατείληφας ἐν αὐτῷ, οἷον ἀκοὴν εὐφρᾶναι, καὶ ἀκοὴν οὕτω πόρρω σοφίας ἡκόντων ἀνθρώπων, καὶ πολλοὺς μὲν ἐκ τῶν πάλαι καὶ καλούς, πολλοὺς δὲ και τῶν νῦν ὄντων εἰσδεξαμένην τοὺς

1) καὶ γάρ τις ἄτοπος A.
2) μηδ' ἔχειν A.
3) δεῖ διδαχθῆναι A. ἐγχειροῦμεν A.
4) πάντως δὲ κοινῶς αἱρετὸν A.

λόγους καὶ τοῦτο ἐλευθερίαν, ὃν δή που τρόπον καὶ αὐτοὶ παρὰ σοῦ μανθάνειν ἐδοκιμάσαμεν, γνωριεῖς· ὡς ἂν ἀθέατον τὸν λόγον τηρήσαντες ζυγοστατεῖσθαι σφίσιν ἐκ τούτου τὰς γνώμας δώσομεν περὶ ἀρετῆς καὶ κακίας τοῦ λόγου, καὶ οὐχὶ σαφῶς ἐκ τοῦ εἰς χεῖρας ἔχειν τἀναντία καὶ περὶ αὐτοῦ δοξάσαι, καὶ περὶ τῶν δημιουργησάντων ἡμῶν. Πάντως δὲ κοινῶς τοῦτο πᾶσιν ἀνθρώποις αἱρετόν[4], ἐθέλειν ἕκαστον ἡμῶν περὶ αὐτοῦ τοὺς ἄλλους ἢ σαφῶς τὰ κρείττω δοξάζειν, ἢ μηδὲ τἀναντία βεβαίως.

ριγ΄) Τῷ μοναχῷ Ἰασίτῃ

Γινώσκεις τὸν ἐμὸν τρόπον· βουλοίμην ἂν γεύσασθαι μηδέποτε, μὴ ἐλαίου, μὴ ἄλλου τινὸς τῶν ἀνειμένων εἰς βρῶσιν, εἴ τισιν ἔμελλον διὰ τοῦτο δόξαι βαρύς· καὶ μᾶλλον ἂν ἔσχον χάριν, εἴ τις οὐδὲ τὰς ἀρχὰς[1] ἐπήρκεσέ μοι αἰτήσαντι· ἢ ἐπήρκεσε μέν, οὐ μεγαλοψύχως δέ, καὶ μεθ᾽ οἵας τῆς τοῦ διδόναι ἐλευθερίας. Τί γοῦν; διὰ σοῦ ζητήσας ἔχω, καὶ διὰ σοῦ λήψομαι· ἀλλὰ πρὶν ἢ τοῦτο, ἀκούοις ἂν ὅ, τι καὶ λέγω· ὁ τοῦ πράγματος οἰκονόμος σὺ καὶ μεσίτης ἔχεις πρὸς ἡμᾶς ὡς ἔχεις· φιλίως μέν, εἰ εἴποιμι, ἔλαττον ἐρῶ τοῦ πράγματος, ἀδελφικῶς δὲ μᾶλλον· διὰ τοῦτο καὶ κοινοποιῇ τὰ ἡμέτερα, καὶ σπεύδεις εἰς τοὐμὸν οὐχ ἧττον ἢ εἰς τὸ σόν. Γινώσκεις τὸν ἐμὸν ἤδη τρόπον ὡς χαίρω λαμβάνων οὐχ ὅπως δήποτε δηλαδή, ἀλλ᾽ ὡς εὐπρεπέστατα. Οὐκοῦν εἰ μὲν ὡς ἐμοὶ φίλον οἶδας τὴν δόσιν γενησομένην, καὶ μή με νομίσῃς λέγειν περὶ ποσότητος, περὶ τοῦ τρόπου λέγω, ὁρᾷς τὸν παῖδα· ἰδοὺ πάρεστι καὶ δεχέσθω· εἰ δ᾽ ἄλλως, αὖθις ἀποπεμπέσθω φέρων μηδὲν πλέον πρὸς ἡμᾶς, ἢ ὅσα ἧκε πρὸς ὑμᾶς ἔχων.

ριδ΄) Τῷ θεογνώστῳ κυρῷ Ἰωάννῃ τῷ ἰητρῷ

Τροφῆς οἱασοῦν οὐχ ἡψάμην τὴν χθές, ἀλλὰ παντάπασιν ἀσιτῶν διετέλεσα· αἴτιον τούτου ἡ οὐκ οἶδ᾽ ὅθεν ἐπισυμ-

[1]) τὴν ἀρχὴν A.

βάσα ταραχὴ καὶ ἀνωμαλία τοῦ σώματος· καὶ σήμερον δ' ἔτι μενούσης τῆς καχεξίας, δέος μὴ καὶ τὸ ἄτροφον αὖθις μεῖναι προσέσται· ἀλλὰ τούτου γε ἕνεκεν πείθει μετρίως ἡμᾶς ὁ λόγος θαρρεῖν· πῶς οὖν πείθει; τῆς φύσεως ὑπομιμνήσκει τῶν παραδειγμάτων καὶ ὡς δύναμιν ταῦτα σχεδὸν ἄμαχον ἔχει διερεθίζειν τοὺς πρὸς αὐτὰ βλέποντας τῶν ἴσων ἀνθάπτεσθαι πράξεων. Οὐκοῦν τῷ λόγῳ ἑπόμενοι καὶ ἡμεῖς τρεπόμεθα παρὰ τὰ παραδείγματα καὶ ζητοῦμεν ἤδη ὅστις ἱκανὸς ἄνθρωπος τῷ κατ' αὐτὸν ὑποδείγματι καὶ ἡμᾶς πρὸς βρῶσιν διερεθίσαι. Εἰ γὰρ κἀπὶ τῶν ἄλλων ἄν τινας ἐνεργοῦντας ὁρῶμεν, οὐκ ἔσθ' ὅπως ἕξομεν ἡσυχῇ μηδὲν αὐτοὶ πράττοντες, πολλῷ μᾶλλον ἐάν τις ἐσθίῃ ὁρώντων ἡμῶν οὐκ ἀνεξόμεθα ἀσιτοῦντες, οἵγε καὶ μηδενὸς διεγείροντος λίαν πρὸς τροφὴν ἔχομεν αὐθορμήτως, ὅταν ἐῤῥώμεθα λέγω· διὸ τίνα ἡμῖν ἕτερον ἀντὶ σοῦ προσήκει ζητεῖν ἢ πόθεν ἄλλοθεν ἡμῖν παράδειγμα τοιοῦτον συμπορισθήσεται; καὶ γὰρ ὥσπερ ἄλλος μέν τις ἀγαθὸς τὰ πολέμια, ἕτερος δὲ τὴν παίδευσιν, καὶ ἄλλος αὖ πράγματα μετιέναι πολιτικά, οὕτω που καὶ σὺ οὐκ ἀγαθὸς μόνον ἀλλὰ καὶ ἄριστος τρώγειν οὐκ ἂν εἴποιμι τὸ σὸν ἀξίωμα καὶ τὸ παρασεσυρμένον καὶ δημῶδες τοῦ ὀνόματος εὐλαβούμενος, παραθήγειν δὲ τοὺς ἄλλους εἰς τοῦτο. Τοιγαροῦν πρὸς ταύτης σου τῆς εἴτε δυνάμεως εἴτ' ἐπιστήμης χρὴ λέγειν εἴτε τι ἕτερον χαίρεις ὀνομάζων τὸ πρᾶγμα, τὴν σήμερον ἐπιστὰς ἐνταῦθα ὁμοῦ πάσῃ παρασκευῇ πεῖσον σχεδὸν καὶ ἄκοντας ἡμᾶς τροφῆς μετρίας γοῦν μεταλαχεῖν, καὶ μὴ ἐθελήσῃς πάντη ἐκλελοιπότας ἰδεῖν, οὓς οὐδὲ τοσοῦτον ἔδει ὅσον ἐξελίπομεν ἤδη· ἐκλείψομεν δὲ τελέως ἂν μὴ τῷ ἐμφύτῳ πυρὶ τὴν τρέφουσαν ὕλην παράσχωμεν· παρέξομεν δὲ πῶς σοῦ τοῦ ἡμετέρου ἀλείπτου μὴ ἐπιστάντος; ἀλλ' ὦ τάν, ὦ φίλη μοι κεφαλή, ὦ παράδειγμα καὶ διδάσκαλε τῶν ἐθελόντων τρέφεσθαι ὥστε ζῆν, ἄριστε καὶ τελεώτατε, ἀνακτήσασθαι προτεθυμημένος ἡμᾶς ἐν τῇ ὥρᾳ τῇ σῇ μάλιστα παρὰ πάσας ἠγαπημένῃ, αὕτη δὲ ἡ τοὺς ἀνθρώπους ἀριστοῦντας ἔχει, κατάλαβε πρὸς ἡμᾶς ἢ προκατάλαβε καὶ τὴν ὥραν· οὕτω γὰρ ἄμεινον

ὡς ἂν ἐνεργῶν παρὰ τὴν τράπεζαν ὡς εἴωθας ἐρρωμένως, καὶ ἀφ' ἡμῶν μιμεῖσθαί σε βουλομένων πόρρω που τὴν ἀπραξίαν, ταὐτὸν δ' εἰπεῖν καὶ ἀτροφίαν ποιήσοις· οὐ γὰρ μόνον τὰ γεωργικὰ ζηλοῖ γείτονα γείτων τὸ τοῦ Ἡσιόδου, ἀλλὰ καὶ τὸν ἐσθίοντα ὁ μὴ ἐσθίων, καὶ τὸν ἄλλο τι ἐργαζόμενον ὁ μηδοτιοῦν ἐργαζόμενος.

ΤΟΥ ΑΥΤΟΥ ΑΓΙΩΤΑΤΟΥ ΠΑΤΡΙΑΡΧΟΥ ΕΠΙΣΤΟΛΑΙ ΕΚΔΟΘΕΙΣΑΙ ΕΝ ΤΩ ΠΑΤΡΙΑΡΧΕΙΩ[1]

ριε') Τῷ μεγάλῳ Λογοθέτῃ

Οἶδας[2] οἷά με ὁ Θεολογίτης Ἰωάννης διέθηκεν[3], ὁ Μακεδονίας καὶ Θρᾴκης κατὰ μέν τινας ἄλλους ἀπογραφεύς, κατ' ἐμὲ δὲ πρηστὴρ ἢ τῷ δυσμεναίνειν τῇ Ἐκκλησίᾳ ἐμοὶ πολεμῶν — ἐπειδὴ καὶ αὐτὸς τοῦ τῶν ἐχθρῶν ἐστι κόμματος — ἢ τῆς παραποιήσεως ἕνεκεν τοῦ ὀνόματος ἀμυνόμενος, ὅτι θεολόγος κατὰ τὸν τῆς βροντῆς υἱὸν τολμηρῶς καλεῖσθαι βουλόμενος, Θεολογίτης ἀκούειν μᾶλλον, ἀλλ' οὐ θεολόγος πρὸς ἡμῶν, ἐκελεύσθη γῆν μὲν ἡμῖν δοῦναι, ἀλλ' ἐῶ τὴν γῆν, ἣν τοσοῦτον παρέχειν ἐφρόντισεν, ὅσον εἰ μηδὲ τὴν ἀρχὴν διδόναι προσέτταττε βασιλεύς, ὅμως σίτου καὶ κριθῆς ἡμᾶς δωρεῖται ὡσεὶ χιλίοις τοῖς πᾶσι μοδίοις ὁ βασιλεύς· καὶ πρόσταγμα γράφεται καὶ πρὸς τὸν γεννάδαν ὥστε δοῦναι παρὰ χρῆμα δεξάμενον πέμπεται· καὶ ἡμεῖς μάλα τοῦ λαβεῖν διήγομεν ἐν ἐλπίδι ἢ τί γὰρ ἕτερον· οὗτος δὲ τί; δέχεται μὲν τὸ πρόσταγμα, πράττει γε μὴν οὐ κατὰ τὸ πρόσταγμα, ὅτι μηδὲ ὅσα εἶχε δίδωσι· τῶν δὲ χιλίων δυσκόλως καὶ πεφεισμένως καὶ ὥς τις ἀποστερούμενος τῶν σαρκῶν, μόνους πεντακοσίους δοὺς τοὺς ὅλους ἡμίσεις κατέσχε παρ' ἑαυτῷ. Ἀλλ' ἐπειδή τι λέγειν ἐπὶ τούτῳ δοκεῖ, ἄκουσον ὡς καταγέλαστα λέγει, καὶ πλεῖστον

[1]) ἡ ἐπιγραφὴ αὕτη παρὰ τῷ Α.
[2]) εἶδες Α.
[3]) διέθηκεν Ἰωάννης Α.

ὅσον τῆς προτέρας λειπόμενα κλήσεως, τῆς ἀπαραποιήτου λέγω καὶ ὑψηλῆς· ἧκε μέν φησιν ἀληθῶς πρόσταγμα τοσοῦτον δοῦναι τῷ πατριάρχῃ, ἀλλ' ἧκεν οὐ πολλαῖς ὕστερον ἡμέραις καὶ ἕτερον σίτου πεντακοσίους παρέχειν ταῖς ἐν τῷ μοναστηρίῳ Περτζὲ μοναζούσαις, ὑπὸ μεσίτῃ καὶ ταύταις τῷ πατριάρχῃ καὶ δέδοται[1]· εἶθ' ὁ λογισμὸς αὐτοῦ, εἰ δὲ βούλει παραλογισμός, πεντακόσιοι τῷ πατριάρχῃ, πεντακόσιοι ταῖς μοναζούσαις διὰ τὸν πατριάρχην· πεντακόσιοι καὶ πεντακόσιοι· οἱ δὲ τοσοῦτοι οὕτως ὑπάλληλοι συντιθέμενοι τοὺς χιλίους συνάγουσι· τοὺς πάντας ἄρα χιλίους αὐτοῦ ἔχει λαβὼν ὁ πατριάρχης καὶ ἀγαπάτω. Πρὸς Θεοῦ πότερον εὐηθείας ἔργα ταῦτα καὶ λογισμοὶ καὶ φρενῶν νηπιότητος, τοῦ καὶ αὐτῷ τῷ δαίμονι ὑποδείξαντος ἂν πονηρίας ἢ τοὐναντίον κακοηθείας καὶ τρόπου φαυλότητος καὶ ὕβρεως καὶ περιφρονήσεως; ἔγωγε οἶμαι τοῦτο· πλὴν τί δήποτε διὰ ταῦτα ποιῶ; ἀποστείλας ἅπτομαι τῶν τοῦ ἀνθρώπου καὶ διδάσκω αὐτὸν οἴεσθαι καί τινας ἐν τῷ παντὶ γένει ἔχοντας αἴσθησιν· καὶ οἶδα ὡς ἥξει καὶ βοήσεται καὶ τὴν βίαν ἀποκλαύσεται· οὐδὲν δὲ ὅμως πρᾶγμα· βοάτω καὶ ἀποκλαιέσθω· οὐ χαίρω ἁρπάζων οὐδ' εἰμὶ βίαιος· οἶδεν ὁ τὰ πάντα[2] εἰδώς· πλὴν εἴ τις ἀδικεῖν με πειρᾶται, οὐ ῥᾳδίως ἀνέχομαι. Οὐδὲν ἔφην πρᾶγμα βοῶντος ἐκείνου, εἰμὴ δὲ σὺ τέως ἀγανακτεῖς· εἰ δ' ἀγανακτεῖς, οὐκ ἂν φθάνῃς λέγων, καὶ ὁ μὲν παμπόνηρος ὑβριστὴς ἅπερ ἀφήρηται ἀπολήψεται, ἐγὼ δὲ σφοδρῶς λυπηθήσομαι καὶ βαρύτατα οἴσω, ὑπὸ τοιούτου ὥςτις τῶν μηδενὸς ἀξίων διαγελώμενος περιφανῶς καὶ παιζόμενος.*

1) καὶ δέδοται] ἐλλείπ. ἐν Β.
2) ὁ πάντα Α.
*) Ἀκολουθεῖ